MASTER NEGATIVE
NO. 93-81186-2

MICROFILMED 1993

COLUMBIA UNIVERSITY LIBRARIES/NEW YORK

as part of the
"Foundations of Western Civilization Preservation Project"

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

Reproductions may not be made without permission from
Columbia University Library

COPYRIGHT STATEMENT

The copyright law of the United States - Title 17, United States Code - concerns the making of photocopies or other reproductions of copyrighted material.

Under certain conditions specified in the law, libraries and archives are authorized to furnish a photocopy or other reproduction. One of these specified conditions is that the photocopy or other reproduction is not to be "used for any purpose other than private study, scholarship, or research." If a user makes a request for, or later uses, a photocopy or reproduction for purposes in excess of "fair use," that user may be liable for copyright infringement.

This institution reserves the right to refuse to accept a copy order if, in its judgement, fulfillment of the order would involve violation of the copyright law.

AUTHOR:

SOPHOCLES

TITLE:

SOPHOCLIS ELECTRA. IN VSVM SCHOLARVM

PLACE:

BONNAE

DATE:

1861

Master Negative #

93-81186-2

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

88SX
IE61

Electra. 1861.

Sophocles.
Sophoclis Electra in vsvm scholarvm, edidit Otto Iahn. Bonnae, Apvd A. Marcvm, 1861.
1 p. 1., 100 p., 1 l. illus. 22½cm.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35 REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 3.19.93 INITIALS Susan
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT



Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202



Centimeter

Inches





MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

Columbia University
in the City of New York

LIBRARY

Μηδὲν ἄγαν

JULIUS SACHS

SOPHOCLIS

ELECTRA

IN VSVM SCHOLARVM

EDIDIT

OTTO IAHN

BONNAE

APVD A. MARCVM

MDCCCLXI

SOPHOCLIS

ELECTRA

IN VSVM SCHOLARVM

EDIDIT

OTTO IAHN

BONNAE

APVD A. MARCVM

MDCCCLXI

from the library of Julius Sachs

88SX
IE61

Feb. 4. 1936 G21

ΣΟΦΟΚΛΕΟΥΣ ΓΕΝΟΣ ΚΑΙ ΒΙΟΣ

Σοφοκλῆς τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλλου. ὃς οὔτε, ὡς Ἀριστόξενός φησι, τέκτων ἢ χαλκεὺς ἦν οὔτε, ὡς Ἴστρος, μαχαιροποιὸς τὴν ἐργασίαν, τυχὸν δ' ἐκέκτητο δούλους χαλκέας ἢ τέκτονας· οὐ γὰρ εἰκὸς τὸν ἐκ τοῦ τοιούτου γενομένον στρατηγίας ἀξιωθῆναι σὺν Περικλεῖ καὶ Θουκυδίδῃ, τοῖς πρώτοις τῆς πόλεως, ἀλλ' οὐδ' ἂν ὑπὸ τῶν κωμικῶν ἄδηκτος ἀφείθη τῶν οὐδὲ Θεμιστοκλέους ἀπεσχημένων. ἀπιστητέον δὲ καὶ τῷ Ἴστρῳ φάσκοντι αὐτὸν οὐκ Ἀθηναῖον ἀλλὰ Φλιάσιον εἶναι, εἰ δὲ καὶ τὸ ἀνέκαθεν Φλιάσιος ἦν· ἀλλὰ πλὴν Ἴστρου παρ' οὐδενὶ ἑτέρῳ τοῦτο ἔστιν εὑρεῖν. ἐγένετο οὖν Σοφοκλῆς τὸ γένος Ἀθηναῖος, δήμου Κολωνῆθεν, καὶ τῷ βίῳ καὶ τῇ ποι-

A cod. Parisinius 2712; F cod. Laurentianus plutei XXVIII, 5; G cod. Florentinus abbatiae 2725; R cod. Riccardianus 34; ς codd. recentiores: BCT Parisini 2787, 2794, 2711; I Ienensis.

1 *Σοφίλλου* Westermannus: *σοφίλου* codd. | 4 *χαλκεῖς καὶ* A | *ἐκ τοιούτων* GT | 8 *στράτωνι* FGRCI | *φλυάσιον* I *Φυλάσιον* Westermannus | 9 *στράτωνος* I | 11 *Κολωνῆθεν* Schaeferus: *κολώνηθεν* codd.

1 *Clemens Alex. protr. p. 63, 5 ὁ τοῦ Σοφίλλου Σοφοκλῆς.*

11 *argumentum Sophoclis Oed. Col. τὸ δὲ δρᾶμα τῶν θαυμαστῶν, ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ Κολωνῆθεν. Cicero de fin. V, 1, 3* nam me ipsum huc modo venientem convertebat ad sese Coloneus ille locus,

ἠσει περιφανής, καλῶς τ' ἐπαιδεύθη καὶ ἐτράφη ἐν εὐπορίᾳ, καὶ ἐν πολιτείᾳ καὶ ἐν πρεσβείαις ἐξητάζετο.

Γεννηθῆναι δ' αὐτόν φασιν ἑβδομηκοστῇ πρώτῃ ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος ἐπὶ ἄρχοντος Ἀθήνησι Φιλίππου. ἦν δ' Αἰσχύλου νεώτερος ἔτη δεκαεπτά, Εὐριπίδου δὲ παλαιότερος εἴκοσι τέσσαρα.

Διεπονήθη δ' ἐν παισὶ καὶ περὶ παλαίστραν καὶ μουσικήν, ἐξ ὧν ἀμφοτέρων ἐστεφανώθη, ὥς φησιν Ἴστρος. ἐδιδάχθη δὲ τὴν μουσικὴν παρὰ Λάμπρῳ, καὶ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Ἀθηναίων περὶ τρόπαιον ὄντων μετὰ λύρας γυμνὸς ἀληλιμμένος τοῖς παιανίζουσι τὸν ἐπινίκιον ἐξῆρχεν.

b Παρ' Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε, καὶ πολλὰ ἐκαι-

2 ἐν πολιτείᾳ συζῶν corr. συνών R ἐν πολιτείᾳ ζυγῶν C | 5 ἔτεσι AFGRCI | ἑπτά AFGRCI λ΄ Sinnerus | παλαιότερος om. AFGCI | Αἰσχύλου νεώτερος ἔτη εἴκοσι τέσσαρα, Εὐριπίδου δὲ παλαιότερος δεκαεπτά Lessingius leb. Soph. p. 32 Musgravius chron. scen. p. 6 Αἰσχύλου νεώτερος ἔτη εἴκοσι ἑπτά, Εὐριπίδου δὲ παλαιότερος δεκατέσσαρα Boeckhius trag. gr. princ. p. 49 | 7 τὴν παλαίστραν FRCI | 9 λάμπῳ ACI, λαμπίῳ T | 10 num χορευόντων? | 11 τὸν ἐπινίκιον Bergkius: τῶν ἐπινικίων codd.

cuius incola Sophocles ob oculos versabatur, quem scis quam admirer, quamque eo delecter.

Plinius nat. hist. XXXVII, 40 super omnis est Sophocles poeta tragicus, quod equidem miror, cum tanta gravitas ei cothurni sit, praeterea vitae fama, alias principe loco genito Athenis et rebus gestis et exercitu ducto.

2 *Plutarchus Nic. 15* λέγεται δ' ἐν τῷ στρατηγίῳ ποτὲ βουλευομένων τι κοινῇ τῶν συναρχόντων κελευσθεὶς ὑπ' αὐτοῦ πρῶτος εἰπεῖν Σοφοκλῆς ὁ ποιητὴς ὡς πρεσβύτατος ὢν τῶν συστρατήγων 'ἐγὼ' φάναι 'παλαιότατος εἰμί, σὺ δὲ πρεσβύτατος'.

tit. trib. soc. XXXVIII Boeckh. 165 Rangab. Σάτυρος Λευκονοεὺς ξυνεγραμ[μάτευε. Σ]οφοκλ[ῆ]ς Κολω[νῆθεν Ἑλληνοταμίας ἦν] ⟨*Ol. 86, 1. cf. Boeckhius staatshaush. d. Ath. II p. 462. 581*⟩.

8 *Athenaeus I p. 20 E* Σοφοκλῆς δὲ πρὸς τῷ καλὸς γεγενῆσθαι τὴν ὥραν ἦν καὶ ὀρχηστικὴν δεδιδαγμένος καὶ μουσικὴν ἔτι παῖς ὢν παρὰ Λάμπρῳ. μετὰ γοῦν τῆν ἐν Σαλαμῖνι ναυμαχίαν περὶ τρόπαιον γυμνὸς ἀληλιμμένος ἐχόρευσε μετὰ λύρας· οἱ δὲ ἐν ἱματίῳ φασί.

12 *Athenaeus I p. 22 A* μεθύων δὲ ἐποίει τὰς τραγῳδίας Αἰσχύλος, ὥς φησι Χαμαιλέων. Σοφοκλῆς γοῦν ὠνείδιζεν αὐτῷ ὅτι εἰ καὶ τὰ δέοντα ποιεῖ, ἀλλ' οὐκ εἰδώς γε. *X p. 428 F* ἃ δ' αὐτὸς ὁ τραγῳδιοποιὸς ἐποίει, ταῦτα τοῖς ἥρωσι περίεθηκε· μεθύων γοῦν ἔγραφε τὰς τραγῳδίας. διὸ καὶ Σοφοκλῆς αὐτῷ μεμφόμενος ἔλεγεν ὅτι 'ὦ Αἰσχύλε, εἰ καὶ τὰ δέοντα ποιεῖς, ἀλλ' οὐκ οὐκ εἰδώς γε [ποιεῖς]'· ὡς ἱστορεῖ Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. *Ioannes Stobaeus flor. XVIII, 33* τοῦ αὐτοῦ ⟨Πλουτάρχου ἐκ τοῦ ὅτι καὶ γυναῖκα παιδευτέον⟩ Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ ὅτι μεθύων ἔγραφε· 'καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ φησίν 'ἀλλ' οὐκ εἰδώς γε'. *Plutarchus de prof. in virt. 7 p. 79 B* ὥσπερ γὰρ ὁ Σοφοκλῆς ἔλεγεν, τὸν Αἰσχύλου διαπεπαιχὼς ⟨διαπεπλιχώς *Bernhardyus gr. litt. II, 2 p. 305* διαπεπλακώς *Bergkius* διαπεπεφθώς *vel* διαπεφευγώς *Schoellius Sophocl. p. 71*⟩ ὄγκον, εἶτα τὸ πικρὸν ⟨πυκνόν *Xylander* ψυχρόν *vel* γλισχρόν *vel*

νούργησεν ἐν τοῖς ἀγῶσι, πρῶτον μὲν καταλύσας τὴν ὑποκρίσιν τοῦ ποιητοῦ διὰ τὴν ἰδίαν μικροφωνίαν — πάλαι γὰρ καὶ ὁ ποιητὴς ὑπεκρίνετο αὐτὸς —, τοὺς δὲ χορευτὰς ποιήσας ἀντὶ δώδεκα πεντεκαίδεκα· καὶ τὸν τρίτον ὑποκριτὴν ἐξεῦρεν.

a Φασὶ δὲ ὅτι καὶ κιθάραν ἀναλαβὼν ἐν μόνῳ τῷ Θαμύριδί ποτε ἐκιθάρισεν, ὅθεν καὶ ἐν τῇ ποικίλῃ στοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι.

c Σάτυρος δέ φησιν ὅτι καὶ τὴν καμπύλην βακτηρίαν πρῶτος ἐπενόησεν. φησὶ δὲ Ἴστρος καὶ τὰς λευκὰς κρηπῖδας

2 ἰσχνοφωνίαν T | 3 αὐτός, τοὺς δέ Bergkius: αὐτὸς δὲ καὶ τούς AFGP αὐτοὺς δὲ τούς RCI, καὶ τούς Westermannus | 5 ἐν μονῳδῷ Welckerus trag. gr. p. 425 | 8 πρῶτος Bergkius: αὐτός codd. | 9 καὶ ἴστρος τάς codd. praeter T

περιττόν *vel* πανηγυρικόν *Wyttenbachius. num* μικρόν?⟩ καὶ κατάτεχνον τῆς αὐτοῦ ⟨αὐτοῦ *Ed. Muellerus gesch. d. theorie d. kunst I p. 223. num* Φρυνίχου?⟩ κατασκευῆς, τρίτον ⟨εἰς τρίτον *Od. Muellerus gr. litt. II p. 116*⟩ ἤδη τὸ τῆς ⟨ποικίλης *add. Bergkius*⟩ λέξεως μεταβάλλειν ⟨μεταλαβεῖν *Bernhardyus p. 304*⟩ εἶδος, ὅπερ ἐστὶν ἠθικώτατον καὶ βέλτιστον· οὕτως οἱ φιλοσοφοῦντες, ὅταν ἐκ τῶν πανηγυρικῶν καὶ κατατέχνων εἰς τὸν ἁπτόμενον ἤθους καὶ πάθους λόγου μεταβῶσιν, ἄρχονται τὴν ἀληθῆ προκοπὴν καὶ ἄτυφον προκόπτειν. *cf. vita Aeschyli* ὅτῳ δὲ δοκεῖ θαυμαστός τε καὶ τελεώτερος τραγῳδίας ποιητὴς Σοφοκλῆς γεγονέναι, ὀρθῶς μὲν δοκεῖ, λογιζέσθω δὲ ὅτι πολλῷ χαλεπώτερον ἦν ἐπὶ Θέσπιδι Φρυνίχῳ τε καὶ Χοιρίλῳ εἰς τοσόνδε μέγεθος τὴν τραγῳδίαν προσαγαγεῖν ἢ ἐπὶ Αἰσχύλῳ ἐπιόντα εἰς τὴν Σοφοκλέους ἐλθεῖν τελειότητα.

Aristoteles poet. 25 p. 1460 οἷον καὶ Σοφοκλῆς ἔφη αὐτὸς μὲν οἵους δεῖ ποιεῖν, Εὐριπίδη δὲ οἷοι εἰσί.

2 *Aristoteles rhet. III, 1 p. 1403* ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον.

4 *Aristoteles poet. 4 p. 1449* τό τε τῶν ὑποκριτῶν πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε καὶ τὰ τοῦ χοροῦ ἠλάττωσε καὶ τὸν λόγον πρωταγωνιστὴν παρεσκεύασεν· τρεῖς δὲ καὶ σκηνογραφίαν Σοφοκλῆς. *Diogenes Laertius III, 56* τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος ὁ χόρος διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορὸν καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς, καὶ συνεπλήρωσαν τὴν τραγῳδίαν. *Themistius or. XXVI p. 316 D* καὶ οὐ προσέχομεν Ἀριστοτέλει ὅτι τὸ μὲν πρῶτον ὁ χόρος εἰσιὼν ἤδεν εἰς τοὺς θεούς, Θέσπις δὲ πρόλογόν τε καὶ ῥῆσιν ἐξεῦρεν, Αἰσχύλος δὲ τρίτον ὑποκριτὴν ⟨ὑποκριτάς *cod. Ambros.* τρεῖς ὑποκριτάς *Dindorfius. fort.* Αἰσχύλος δὲ ὑποκριτὰς⟩ καὶ ὀκρίβαντας, τὰ δὲ πλείω τούτων Σοφοκλέους ἀπελαύσαμεν καὶ Εὐριπίδου; *vita Aeschyli* τὸν δὲ τρίτον ὑποκριτὴν αὐτὸς ⟨*Aeschylus*⟩ ἐξεῦρεν, ὡς δὲ Ἀϊκαίαρχος ὁ Μεσσήνιος Σοφοκλῆς.

5 *Athenaeus I p. 20 F* καὶ τὸν Θάμυριν διδάσκων αὐτὸς ἐκιθάρισεν· ἄκρως δὲ ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε. *Eustathius ad Hom. Od. ζ, 115 p. 1553, 64* μάλιστα δέ φασιν ἐπιμελήθησαν ὕστερον σφαιριστικῆς — ἰδιωτῶν Σοφοκλῆς ὁ τραγικός· ὃς καί, ὅτε φασὶ τὰς Πλυντρίας ἐδίδασκε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος ἰσχυρῶς εὐδοκίμησεν. *ad Hom. Il. Γ, 54 p. 381, 10* Σοφοκλῆς περιᾴδεται οὐ μόνον δεινὸς εἶναι σφαιρίσαι, ὡς ἡ κατ' αὐτὸν ἐδήλωσε δραματικὴ Ναυσικάα — ἀλλὰ καὶ κιθαρίζειν ἄκρος, οὕτω δὲ καὶ ὀρχεῖσθαι καὶ χορεύειν.

9 *Servius ad Verg. ecl. VIII, 10* sola Sophocleo tua carmina digna

αὐτὸν ἐξευρηκέναι, ἃς ὑποδοῦνται οἵ τε ὑποκριταὶ καὶ οἱ χορευταί, καὶ πρὸς τὰς φύσεις αὐτῶν γράψαι τὰ δράματα, ‘ταῖς δὲ Μούσαις θίασον ἐκ τῶν πεπαιδευμένων συναγαγεῖν’.

e Καὶ ἁπλῶς εἰπεῖν τοῦ ἤθους τοσαύτη γέγονε χάρις ὥστε πάντη καὶ πρὸς ἁπάντων αὐτὸν στέργεσθαι.

1 αἷς ὑποδεσμεύονται FGRς | 4 ἁπλῶς ὡς ἔστιν εἰπεῖν AFRBC ἁπλῶς ἔστιν εἰπεῖν I

cothurno] cothurnus autem calciamentum tragicum, cuius usum quidam Sophoclem primum scenae intulisse volunt.

2 *schol. Aristoph. nubb. 1267* ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. *schol. Aristoph. ran. 791* Κλειδημίδης] Καλλίστρατος ὅτι ἴσως Σοφοκλέους υἱὸς οὗτος. Ἀπολλώνιος δὲ ὅτι Σοφοκλέους ὑποκριτής.

4 *Aristophanes ran. 82* ὁ δ' ⟨*Sophocles*⟩ εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ. *argumentum Sophoclis Oed. Col.* ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις φησὶν οὕτως

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ κάλας τραγῳδίας·
καλῶς δ' ἐτελεύτησ' οὐδὲν ὑπομείνας κακόν.

Aristophanes ran. 787 Ξ. οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
Α. μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν,
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.

vita Euripidis λέγουσι δὲ καὶ Σοφοκλέα, ἀκούσαντα ὅτι ἐτελεύτησε ⟨*Euripides*⟩ αὐτὸν μὲν ἱματίῳ φαιῷ προελθεῖν, τὸν δὲ χορὸν καὶ τοὺς ὑποκριτὰς ἀστεφανώτους εἰσαγαγεῖν ἐν τῷ προαγῶνι καὶ δακρῦσαι τὸν δῆμον.

Athenaeus XIII p. 557 E φιλογύνης δ' ἦν καὶ Εὐριπίδης ὁ ποιητής. Ἱερώνυμος γοῦν ἐν ἱστορικοῖς ὑπομνήμασί φησιν οὕτως· εἰπόντος Σοφοκλεῖ τινὸς ὅτι μισογύνης ἐστὶν Εὐριπίδης, ‘ἔν γε ταῖς τραγῳδίαις’, ἔφη Σοφοκλῆς ‘ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης’. *Ioannes Stobaeus flor. VI, 36* ἐκ τῶν Σερήνου. περὶ Εὐριπίδου τις ἔλεγεν ὅτι μισογύνης εἴη· καὶ ὁ Σοφοκλῆς ‘ἀλλ' οὐκ ἔν γε τῇ κλίνῃ’ ἔφη.

Athenaeus XIII p. 604 D καὶ Ἱερώνυμος δ' ὁ Ῥόδιος ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησιν ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε χρησόμενος αὐτῷ. ὁ μὲν οὖν παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσε, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλοντο. μετ' οὖν τὴν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ ἑαυτοῦ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος, Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονὸς καὶ αὐτός ποτε ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδί, ἀλλὰ μηδὲν προσθεῖναι, τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς αὐτὸν τοιοῦτον ἐπίγραμμα, χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ καὶ τὸ πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος.

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦντι ἑτέραν
Βορρᾶς ὡμίλησε. σὺ δ' οὐ σοφός, ὃς τὴν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

excerpta e cod. Flor. Ioannis Damasceni II, 30, 10 Εὐριπίδης ὁ ποιητής, ἐπεὶ ὀψωνοῦντος αὐτοῦ ἐπελάβετο τις λέγων ὅτι Σοφοκλῆς τοῦτο διὰ δούλου ποιεῖ, ‘τοιγαροῦν’ ἔφη ‘Σοφοκλῆς ἐσθίει ὄψον ὁποῖον τῷ οἰκέτῃ αὐτοῦ ἀρέσκει, ἐγὼ δ' ὁποῖον ἂν ἐμοί’.

d Νίκας δ' ἔλαβεν εἴκοσιν, ὥς φησι Καρύστιος, πολλάκις δὲ καὶ δευτερεῖα ἔλαβε, τρίτα δ' οὐδεπώποτε.

g Καὶ Ἀθηναῖοι δ' αὐτὸν πεντήκοντα πέντε ἐτῶν ὄντα στρατηγὸν εἵλοντο, πρὸ τῶν Πελοποννησιακῶν ἔτεσιν ἑπτά, ἐν τῷ πρὸς Ἀναίους πολέμῳ.

2 τριτεῖα Stephanus | 3 πεντήκοντα πέντε Lessingius leb. Soph. p. 134: ἑξήκοντα ἐννέα AR ἐτῶν ξθ' ὄντα πέντε I ἑξήκοντα πέντε supra scr. ἐννέα C ξέ FT ἑξήκοντα G | 4 ἑπτὰ πέντε I ἐννέα Bergkius | Ἀναίους
ους
Boeckhius ad Antig. p. 142: ἀνανίους A ἀνίους adscr. να G ἀνανίαν T
αν
ἀνανίω F ἀνανίῳ C ἀνανιῳ R ἀράνικον I Ἀναίαν Turnebus Ἀναιίτας Ritterus Σαμίους Seidlerus in Hermanni Antig. p. XXIV ἐν τῷ πρὸς τοὺς ἐν Ἀναίοις (vel Ἀναίᾳ) aut ἐν τῷ περὶ Πριανικῶν Wexius prol. ad Soph. Antig. p. 19

1 *Diodorus Siculus XIII, 103* Σοφοκλῆς ὁ Σοφίλλου, ποιητὴς τραγῳδιῶν, — νίκας δ' ἔχων ὀκτωκαίδεκα.

argumentum Euripidis Alcestidis ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος ὀλυμπιάδι πέ'. πρῶτος ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης Κρήσσαις, Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος, Τηλέφῳ, Ἀλκήστιδι * * *.

argumentum Sophoclis Philoctetae ἐδιδάχθη ἐπὶ Γλαυκίππου ⟨*ol. 92, 3*⟩. πρῶτος ἦν Σοφοκλῆς.

argumentum Euripidis Medeae ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ' ἔτει [προτέρῳ]. πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ, Φιλοκτήτῃ, Λίκτυι, Θερισταῖς σατύροις. οὐ σώζεται.

argumentum Sophoclis Oed. tyr. χαριέντως δὲ Τύραννον ἅπαντες αὐτὸν ἐπιγράφουσιν ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος. *Aristides or. 46 II p. 256* Σοφοκλῆς Φιλοκλέους ἡττᾶτο ἐν Ἀθηναίοις τὸν Οἰδίπουν, ὦ Ζεῦ καὶ θεοί, πρὸς ὃν οὐδ' Αἰσχύλος εἶχε λέξαι τι. ἆρ' οὖν διὰ τοῦτο χείρων Σοφοκλῆς Φιλοκλέους; αἰσχύνη μὲν οὖν αὐτῷ τοσοῦτον ἀκοῦσαι, ὅτι βελτίων Φιλοκλέους.

3 *Plutarchus an seni res p. ger. 3 p. 785 B* τουτὶ δὲ ὁμολογουμένως Σοφοκλέους ἐστὶ τὸ ἐπιγραμμάτιον

ᾤδην Ἡροδότῳ τεῦξεν Σοφοκλῆς ἐτέων ὢν
πέντ' ἐπὶ πεντήκοντα

⟨*aut φίλος add. aut πέντ' ἐπὶ π' scr. Bergkius poet. lyr. p. 459*⟩.

4 *schol. Aristid. III p. 485 Dind.* τῶν δέκα στρατηγῶν τῶν ἐν Σάμῳ τὰ ὀνόματα κατὰ Ἀνδροτίωνα· Σωκράτης Ἀναγυράσιος, Σοφοκλῆς ἐκ Κολωνοῦ ὁ ποιητής, Ἀνδοκίδης Κυδαθηναιεύς, Κρέων Σκαμβωνίδης, Περικλῆς Χολαργεύς, Γλαύκων ἐκ Κεραμέων, Καλλίστρατος Ἀχαρνεύς, Ξενοφῶν Μελιτεύς * * *. *argumentum Sophoclis Antigonae* φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. *Strabo XIIII p. 638* Ἀθηναῖοι δὲ — πέμψαντες στρατηγὸν Περικλέα καὶ σὺν αὐτῷ Σοφοκλέα τὸν ποιητὴν πολιορκίᾳ κακῶς διέθηκαν ἀπειθοῦντας τοὺς Σαμίους. *Suidas* [Μέλητος] Μέλισσος — ἀντεπολιτεύσατο δὲ Περικλεῖ καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικὸν ὀλυμπιάδι πδ'. *Iustinus III, 6, 12* igitur Athenienses adversus tantam tempestatem belli duos duces deligunt, Periclem, spectatae virtutis virum, et Sophoclen, scriptorem tragoediarum, qui diviso exercitu et Spartanorum agros vastaverunt et multos Asiae civitates Atheniensium imperio adiecerunt.

Athenaeus XIII p. 603 E φιλομεῖραξ ἦν ὁ Σοφοκλῆς ὡς Εὐριπίδης

f Οὕτω δὲ φιλαθηναιότατος ἦν ὥστε πολλῶν βασιλέων μεταπεμπομένων αὐτὸν οὐκ ἠθέλησε τὴν πατρίδα καταλιπεῖν.

1 φιλαθήναιος I | μεταπεμπόντων ς

φιλογύνης ⟨*cf.* **Macho apud Athenaeum XIII p. 582 E**⟩. Ἴων γοῦν ὁ ποιητὴς ἐν ταῖς ἐπιγραφομέναις Ἐπιδημίαις γράφει οὕτως·

Σοφοκλεῖ τῷ ποιητῇ ἐν Χίῳ ⟨*cf.* **Euripidis epist. 2**⟩ συνήντησα, ὅτε ἔπλεε ἐς Λέσβον στρατηγός, ἀνδρὶ παιδιώδει παρ' οἶνον καὶ δεξιῷ. Ἑρμησίλεω δὲ ξείνου οἱ ἐόντος καὶ προξείνου Ἀθηναίων ἱστιῶντος αὐτόν, ἐπεὶ παρὰ τὸ πῦρ ἑστεὼς ὁ τὸν οἶνον ἐγχέων παῖς * * ἐὼν δῆλος ἦν εἶπε τε 'βούλει με ἡδέως πίνειν;' φάντος δ' αὐτοῦ, 'βραδέως τοίνυν καὶ πρόσφερέ μοι καὶ ἀπόφερε τὴν κύλικα'. ἔτι πολὺ μᾶλλον ἐρυθριήσαντος τοῦ παιδὸς εἶπε πρὸς τὸν συγκατακείμενον 'ὡς καλῶς Φρύνιχος ἐποίησεν εἰπας

λάμπει δ' ἐπὶ πορφυρέαις παρῆσιν φῶς ἔρωτος,

καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς ἢ Ἐρυθραῖος ⟨*leg.* ἠμείφθη Ἐρετριεὺς ὁ Ἐρυθραῖος⟩ γραμμάτων ἐὼν διδάσκαλος 'σοφὸς μὲν δὴ σύ γε εἶ, ὦ Σοφόκλεες, ἐν ποιήσι· ὅμως μέντοι γε οὐκ εὖ εἴρηκε Φρύνιχος πορφυρέας εἰπὼν τὰς γνάθους τοῦ καλοῦ. εἰ γὰρ ὁ ζωγράφος χρώματι πορφυρέῳ ἐναλείψειε τοῦδε τοῦ παιδὸς τὰς γνάθους, οὐκ ἂν ἔτι καλὸς φαίνοιτο. οὐ κάρτα δεῖ τὸ καλὸν τῷ μὴ καλῷ φαινομένῳ εἰκάζειν'. καὶ γελάσας ἐπὶ τῷ Ἐρετριεῖ Σοφοκλέης 'οὐδὲ τόδε σοι ἀρέσκει ἄρα, ὦ ξεῖνε, τὸ Σιμωνιδήιον κάρτα δοκέον τοῖσι Ἕλλησι εὖ εἰρῆσθαι

πορφυρέου [ἀπὸ] στόματος εἶσα φωνὰν πάρθενος,

οὐδ' ὁ ποιητὴς' ἔφη 'λέγων χρυσοκόμαν Ἀπόλλωνα· χρυσέας γὰρ εἰ ἐποίησεν ὁ ζωγράφος τὰς τοῦ θεοῦ κόμας καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγράφημα. οὐδὲ ὁ φὰς ῥοδοδάκτυλον· εἰ γάρ τις ἐς ῥόδεον χρῶμα βάψειε τοὺς δακτύλους, πορφυροβάφου χέρας καὶ οὐ γυναικὸς καλῆς ποιήσει'. ἐκγελασάντων δὲ ὁ μὲν Ἐρετριεὺς ἐνωπήθη τῇ ἐπιραπίζι, ὁ δὲ πάλιν τοῦ παιδὸς τῶν λόγων εἴχετο. εἴρετο γάρ μιν ἀπὸ τῆς κύλικος κάρφος τῷ μικρῷ δακτύλῳ ἀπαιρετέοντα, εἰ κατορᾷ τὸ κάρφος. φάντος δὲ κατορᾶν, 'ἄπο τοίνυν φύσησον αὐτό'· ἵνα μὴ πλύνοιτο ὁ δακτυλος εὖ. προσαγαγόντος δ' αὐτοῦ τὸ πρόσωπον πρὸς τὴν κύλικα, ἐγγυτέρω τὴν κύλικα τοῦ ἑωυτοῦ στόματος ἦγε, ἵνα δὴ ἡ κεφαλὴ τῇ κεφαλῇ ἀσσοτέρω γένηται. ὡς δ' ἦν οἱ κάρτα πλησίον, προσλαβὼν τῇ χειρὶ ἐφίλησε. ἐπικροτησάντων δὲ πάντων ξὺν γέλωτι καὶ βοῇ ὡς εὖ ὑπηγάγετο, τὸν παῖδα 'μελετῶ' εἶπε 'στρατηγέειν, ὦ ἄνδρες, ἐπειδήπερ Περικλέης ποιέειν με ἔφη, στρατηγέειν δ' οὐκ ἐπίστασθαι. ἆρ' ὧν κατ' ὀρθόν μοι πέπτωκε τὸ στρατήγημα;' τοιαῦτα πολλὰ δεξιῶς ἔλεγε τε καὶ ἔπρησσε, ὅτε πίνοι ἢ παίζοι. τὰ μέντοι πολιτικὰ οὔτε σοφὸς οὔτε ῥεκτήριος ἦν, ἀλλ' ὡς ἄν τις εἷς τῶν χρηστῶν Ἀθηναίων.

Cicero de offic. I, 40. 144 bene Pericles, cum haberet collegam in praetura Sophoclem poetam eique de communi officio convenissent et casu formosus puer praeteriret dixissetque Sophocles 'o puerum pulchrum, Pericle!' — 'at enim praetorem, Sophocle, decet non solum manus, sed etiam oculos abstinentes habere'. ***Valerius Maximus IIII, 3, ext. 1*** Pericles, Atheniensium princeps, cum tragoediarum scriptorem Sophoclen in praetura collegam haberet atque is publico officio una districtus pueri ingenui praetereuntis formam inpensioribus verbis laudasset, intemperantiam eius increpans dixit, praetoris non solum manus lucro, sed etiam oculos a libidinoso aspectu continentes esse deberes. ***Plutarchus Pericl. 8*** καί ποτε τοῦ Σοφοκλέους, ὅτε συστρατηγῶν ἐξέπλευσε μετ' αὐτοῦ, παῖδα καλὸν ἐπαίνεσαντος, 'οὐ μόνον' ἔφη ⟨**Pericles**⟩ 'τὰς χεῖρας, ὦ Σοφόκλεις, δεῖ καθαρὰς ἔχειν τὸν στρατηγόν, ἀλλὰ καὶ τὰς

Ἔσχε δὲ καὶ τὴν τοῦ Ἄλκωνος ἱερωσύνην, ὃς ἥρως ἦν μετὰ Ἀσκληπιοῦ παρὰ Χείρωνι τραφείς, * * ἱδρυνθεὶς ὑπὸ Ἰοφῶντος τοῦ υἱοῦ μετὰ τὴν τελευτήν.

Γέγονε δὲ καὶ θεοφιλὴς ὁ Σοφοκλῆς ὡς οὐκ ἄλλος, καθάφησιν Ἱερώνυμος * * περὶ τῆς χρυσῆς στεφάνης. ταύτης γὰρ ἐξ ἀκροπόλεως κλαπείσης κατ' ὄναρ Ἡρακλῆς ἐδήλωσε Σοφοκλεῖ, λέγων τὴν † μὴ οἰκοῦσαν οἰκίαν ἐν δεξιᾷ εἰσιόντι ἐρευνῆσαι, ἔνθα ἐκέκρυπτο. ἐμήνυσε δ' αὐτὴν τῷ δήμῳ καὶ τάλαντον ἐδέξατο· τοῦτο γὰρ ἦν προκηρυχθέν. λαβὼν οὖν τὸ τάλαντον ἱερὸν ἱδρύσατο Μηνυτοῦ Ἡρακλέους.

1 τοῦ om. FRCI | Ἄλκωνος Meinekius com. gr. II p. 683: ἄλωνος codd. Ἀύλωνος Panofka ann. XIX p. 211 | 2 περὶ AC περὶ Χείρωνα Wieselerus gött. gel. Anz. 1843 p. 1245 | τραφείς add. Meinekius: om. codd. | lacunam indicavit Bergkius ἀπὸ Φαλήρου τοῦ υἱοῦ Wieselerus p. 1246 | 5 ἐν τῷ περὶ T. lacunam indicavi | 7 Μικοῦς vel Μητίχου Bergkius Μίκωνος Dindorfius ὁμοροῦσαν Westermannus | 8 αὐτόν C

ὄψεις'. **Ioannes Stobaeus flor. XVII, 19** Περικλῆς Σοφοκλέους εὐπρεπῆ παῖδα δεικνύντος αὐτῷ 'ὦ Σοφόκλεις' εἶπε 'τὸν σώφρονα στρατηγὸν οὐ μόνον τὰς χεῖρας ἀλλὰ καὶ τὴν ὄψιν ἔχειν παρ' ἑαυτῷ δεῖ'. **vitae X oratt. p. 838 F** Σοφοκλέα δὲ τὸν τραγικὸν θεασάμενος ⟨**Isocrates**⟩ ἑπόμενον ἐρωτικῶς παιδὶ εἶπεν 'οὐ μόνον δεῖ, Σοφόκλεις, τὰς χεῖρας ἔχειν παρ' αὑτῷ ἀλλὰ καὶ τοὺς ὀφθαλμούς'.

Aristophanes pac. 695. Ε. πρῶτον δ' ὅτι πράττει Σοφοκλέης ἀνήρετο.
Τρ. εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν. Ε. τὸ τί;
Τρ. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.
Ε. Σιμωνίδης; πῶς; Τρ. ὅτι γέρων ὢν καὶ σαπρὸς
κέρδους ἕκαι κἂν ἐπὶ ῥιπὸς πλέοι.

schol. 697 RV ὁ Σιμωνίδης διαβέβλητο ἐπὶ φιλαργυρίᾳ. καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν ἐοικέναι τῷ Σιμωνίδῃ. λέγεται δὲ καὶ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο. ***schol. V*** μή ποτε ἐδόκει Σοφοκλῆς περὶ τοὺς μισθοὺς καὶ τὰς νεμήσεις ὄψέ ποτε φιλοτιμότερος γεγονέναι. ***schol. 698 R*** μετὰ τὰ ζ' ⟨ταῦτα ις' **Bergkius**⟩ ἔτη βεβίωκεν· πῶς οὖν γέρων; ⟨***Pax acta est ol. 89, 3***⟩.

1 ***schol. Apoll. Rh. I, 87*** Ἄλκων, ὄνομα κύριον, πατὴρ Φαλήρου. τὸν δὲ Ἄλκωνα Πρόξενός φησιν Ἐρεχθέως. φυγεῖν δὲ αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης εἰς Εὔβοιαν, ἐξαιτοῦντος δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας.

2 ***pertinere videntur ad p. 11.***

5 ***Tertullianus de an. 46*** coronam auream cum ex arce Athenaei perdidissent, Sophocles tragicus somniando redinvenit. ***Cicero de divin. I, 25, 54*** adiungamus philosophis doctissimum hominem, poetam quidem divinum, Sophoclem. qui, cum ex aede Herculis patera aurea gravis suscepta esset, in somnis vidit ipsum deum dicentem ⟨***num*** indicantem?⟩ qui id fuisset. quod semel ille iterumque neglexit. ubi idem saepius, ascendit in ariopagum, detulit rem. Areopagitae conprehendi iubent eum qui a Sophocle erat nominatus. is quaestione adhibita confessus est pateramque rettulit. quo facto fanum illud indicis Herculis nominatum est. ***Hesychius*** μηνυτής· Ἡρακλῆς ἐν Ἀθήναις.

*Φέρεται δὲ καὶ παρὰ πολλοῖς ἡ πρὸς τὸν υἱὸν Ἰοφῶντα γενομένη αὐτῷ δίκη ποτέ, ἔχων γὰρ ἐκ μὲν Νικοστράτης Ἰοφῶντα, ἐκ δὲ Θεωρίδος Σικυωνίας Ἀρίστωνα, τὸν ἐκ τούτου γενόμενον παῖδα Σοφοκλέα τοὔνομα πλέον ἔστεργεν. καί ποτε * ἐν † δράματι εἰσήγαγε τὸν Ἰοφῶντα αὐτῷ φθονοῦντα καὶ πρὸς*

1 *φέρεται* Dindorfius: *φαίνεται* codd. | 2 *ποτέ* om. FGR *ποτὲ δική* T | 3 *τὸν* om. FGR | 4 *Λεύκων ἐν δράματι* Naekius apud Welckerum gr. trag. p. 263 *Πλάτων ἐν δράματι* alius v. d. apud Welckerum *Ἀριστοφάνης ἐν Δράμασιν* Hermannus ad Soph. Oed. Col. p. XI qui olim scripserat *ἐν δικαστηρίῳ* | 5 *προσήγαγε* RCI | *καί ποτε ἐς τοὺς φράτορας εἰσήγαγε. λέγουσι οὖν μὴ ἐᾶσαι αὐτὸν εἰσαγαγεῖν τὸν Ἰοφῶντα* Fritzschius ad Arist. ran. p. 36 | *αὐτῷ* FRCI

2 *schol. V Aristoph. ran. 71 Νικοστράτης δὲ υἱὸς ἦν ⟨Iophon⟩. φασὶ δὲ ὅτι καὶ Ἀρίστων τοῦ Σοφοκλέους νόθος υἱὸς ἐγεγόνει ἔκ τινος Θεωρίδος Σικυωνίας. Suidas Ἰοφῶν, Ἀθηναῖος, υἱὸς Σοφοκλέους τοῦ τραγικοῦ γνήσιος ἀπὸ Νικοστράτης· γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεωρίδος Σικυωνίας.*

Hermesianax 57 apud Athen. XIII p. 598 C

ἀτθὶς δ' οἵα μέλισσα πολυτρήρωνα Κολωνὸν
λείπουσ' ἐν τραγικαῖς ἥδε χοροστασίαις
Βάκχον καὶ τὸν ἔρωτ' ἐγέραιρε Θεωρίδος οἶσθα.
* * * * *Ζεὺς ἔπορεν Σοφοκλεῖ.*

Athenaeus XIII p. 592 A Σοφοκλῆς δ' ὁ τραγῳδιοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας. ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησί

κλῦθί μευ εὐχομένου, κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,
ἣ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ἰσχὺς μὲν ἀπήμβλυνται θυμὸς δὲ μενοινᾷ.

ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων ⟨cf. Herod. v. Hom. 30⟩. τῆς δὲ Θεωρίδος μνημονεύει λέγων ἔν τινι στασίμῳ

φίλη γὰρ ἡ Θεωρίς.

⟨cf. Pollux IIII, 111 παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν λέγει, ἐπεικῶς δ' αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί, τραγικὸν δὲ οὐκ ἔστιν. ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. — καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆς πρὸς ἐκεῖνον ἀμίλλης ποιεῖ σπανιάκις, ὥσπερ ἐν Ἱππόνῳ.⟩

3 *argumentum Sophoclis Oed. Col. τὸν ἐπὶ Κολώνῳ Οἰδίπουν ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνος ἐπὶ ἄρχοντος Μίκωνος ⟨ol. 94, 3⟩. Diodorus Siculus XIIII, 53 ἐν δὲ ταῖς Ἀθήναις Σοφοκλῆς ὁ Σοφοκλέους ⟨add. υἱδοῦς⟩ τραγῳδίαν διδάσκειν ἤρξατο καὶ νίκας ἔσχε δυοκαίδεκα. Suidas Σοφοκλῆς Ἀρίστωνος, υἱωνὸς δὲ Σοφοκλέους τοῦ πρεσβυτέρου, Ἀθηναῖος, τραγικός. ἐδίδαξε δὲ δράματα μ', οἱ δέ φασιν ια'· νίκας δὲ εἴλεν ξ'. ἔγραψε καὶ ἐλεγείας.*

Athenaeus XIII p. 592 B ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου, ὥς φησιν Ἡγήσανδρος, Ἀρχίππην ἠγάπησε τὴν ἑταίραν καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. ὅτε δὴ γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρότερος αὐτῆς ἐραστὴς Σμικρίνης ἐρωτώμενος ὑπό τινος τί πράττει Ἀρχίππη, χαριέντως ἔφη 'ὥσπερ αἱ γλαῦκες ἐπὶ τάφῳ κάθηται'.

Plato rep. I p. 329 B καὶ δὴ καὶ Σοφοκλεῖ ποτὲ τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος 'πῶς' ἔφη 'ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τ' εἶ γυναικὶ συγγίγνεσθαι;' καὶ ὃς 'εὖφημει' ἔφη 'ὦνθρωπε, ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον

τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρὶ ὡς ὑπὸ γήρως παραφρονοῦντι· οἱ δὲ τῷ Ἰοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν 'εἰ μέν εἰμι Σοφοκλῆς, οὐ παραφρονῶ· εἰ δὲ παραφρονῶ, οὐκ εἰμὶ Σοφοκλῆς', καὶ τότε τὸν Οἰδίποδα παραναγνῶναι.

Τελευτῆσαι δὲ αὐτὸν Ἴστρος καὶ Νεάνθης φασὶ τοῦ-

4 *ἀναγνῶναι* CT

δεσπότην ἀποφυγών'. ⟨cf. Cicero de sen. 14, 47. Valerius Maximus IIII, 3 ext. 2. Plutarchus de cup. div. 4 p. 525 A. an seni res p. ger. 8 p. 788 E. Philostratus vita Apoll. Tyan. I, 13, 3. VII, 31, 3. Athenaeus XII p. 510 B. Ammianus Marcellinus XXV, 4, 2. Clemens Alexandrinus paed. II p. 84, 8. Iuncus apud Ioann. Stob. flor. VI, 1. Aeschines epp. 5 p. 673.⟩

4 *Cicero de sen. 7, 22* Sophocles ad summam senectutem tragoedias fecit. quod propter studium cum rem neglegere familiarem videretur, a filiis in iudicium vocatus, ut, quemadmodum nostro more male rem gerentibus patribus bonis interdici solet, sic illum quasi desipientem a re familiari removerent iudices. tum senex dicitur eam fabulam, quam in manibus habebat et proxime scripserat, Oedipum Coloneum, recitasse iudicibus quaesivisseque, num illud carmen desipientis videretur. quo recitato sententiis iudicum est liberatus. *Plutarchus an seni res p. ger. 3 p. 785 A Σοφοκλῆς δὲ λέγεται μὲν ὑπὸ τῶν υἱῶν παρανοίας δίκην φεύγων ἀναγνῶναι τὴν ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνοῦ πάροδον ἣ ἐστὶν ἀρχὴ 'εὐίππου ξένε', θαυμαστοῦ δὲ τοῦ μέλους φανέντος, ὥσπερ ἐκ θεάτρου τοῦ δικαστηρίου προπεμφθῆναι μετὰ κρότου καὶ βοῆς τῶν παρόντων. Apuleius de mag. 37 p. 289* Sophocles poeta, Euripidi aemulus et superstes — vixit enim ad extremam senectam —, cum igitur accusaretur a filio suomet dementiae, quasi iam per aetatem desiperet, protulisse dicitur Coloneum suam, peregregiam tragoediarum, quam forte tum in eo tempore conscribebat, eam iudicibus legisse nec quicquam amplius pro defensione sua addidisse nisi ut audacter dementiae condemnarent, si carmina senis displicerent. ibi ego comperior omnis iudices tanto poetae adsurrexisse, miris laudibus eum tulisse ob argumenti sollertiam et cothurnum facundiae, nec ita multum omnis abfuisse quin accusatorem potius dementiae condemnarent. [*Lucianus*] *macrob. 24 Σοφοκλῆς ὁ τραγῳδοποιὸς — ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος ὅπως τὸν νοῦν ὑγιαίνει, ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. ⟨cf. ad p. 11, 7.⟩*

Aristoteles rhet. III, 15 p. 1416 ἄλλος τρόπος ὡς ἔστιν ἁμάρτημα ἢ ἀτύχημα ἢ ἀναγκαῖον, οἷον Σοφοκλῆς ἔφη τρέμειν οὐχ, ὡς ὁ διαβάλλων ἔφη, ἵνα δοκῇ γέρων, ἀλλ' ἐξ ἀνάγκης· οὐ γὰρ ἑκόντι εἶναι αὐτῷ ἔτη ὀγδοηκοντα.

6 *Photius bibl. cod. 190 p. 146 ἀνεγνώσθησαν Πτολεμαίου τοῦ Ἡφαιστίωνος περὶ τῆς εἰς πολυμαθίαν καινῆς ἱστορίας λόγοι ς'. — περιέχει μὲν οὖν τὸ α' βιβλίον περὶ Σοφοκλέους τῆς τελευτῆς.*

argumentum Sophoclis Oed. Col. ἐπὶ ἄρχοντος Μίκωνος, ὅς ἐστι τέταρτος ἀπὸ Καλλίου ⟨ol. 93, 3⟩, ἐφ' οὗ φασὶν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι. σαφὲς δὲ τοῦτ' ἐστὶν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς τραγικούς ⟨sic Clintonus fast. Hell. II p. XXXVI στρατηγούς cod.⟩ ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως ⟨cf. ad p. 4, 4⟩.

τον τὸν τρόπον. Καλλιππίδην ὑποκριτὴν ἀπ' ἐργασίας ἐξ Ὀποῦντος [ἥκοντα] παρὰ τοὺς Χόας πέμψαι αὐτῷ σταφυλὴν, τὸν δὲ Σοφοκλέα λαβόντα εἰς τὸ στόμα ῥᾶγα ἔτι ὀμφακίζουσαν ὑπὸ τοῦ ἄγαν γήρως ἀποπνιγέντα τελευτῆσαι. Σάτυρος δέ φησι τὴν Ἀντιγόνην ἀναγιγνώσκοντα καὶ ἐμπεσόντα περὶ τὰ τέλη νοήματι μακρῷ καὶ μέσην ἢ ὑποστιγμὴν πρὸς ἀνάπαυσιν μὴ ἔχοντι, ἄγαν ἀποτείναντα τὴν φωνὴν σὺν τῇ φωνῇ καὶ τῆν ψυχὴν ἀφεῖναι. οἱ δ' ὅτι μετὰ τὴν τοῦ δράματος ἀνάγνωσιν, ὅτε νικῶν ἐκηρύχθη, χαρᾷ νικηθεὶς ἐξέλιπεν.

Καὶ ἐπὶ τὸν πατρῷον τάφον ἐτέθη τὸν ἐπὶ τῇ ὁδῷ τῇ κατὰ τὴν Δεκέλειαν φερούσῃ κείμενον πρὸ τοῦ τείχους ἔνδεκα σταδίων. φασὶ δ' ὅτι καὶ τῷ μνήματι αὐτοῦ σειρῆνα ἐπέστησαν, οἱ δὲ κηληδόνα χαλκῆν. καὶ τοῦτον τὸν τόπον ἐπιτετειχικότων

1 καλλιπίδου ὑποκριτοῦ — ἥκοντος RCI | 2 περὶ FGRCI | 11 ἐπὶ τὴν δεκέλειαν ὅδον AFGRC | 13 κηληδόνα Huschkius anall. crit. p. 8: χελιδόνα codd. ἄλλως χέλυν R in marg. χελίαν F

1 ***Aristoteles poet. 26 p. 1461*** *ὡς λίαν ὑπερβάλλοντα πίθηκον ὁ Μυνίσκος τὸν Καλλιππίδην ἐκάλει. — p. 1462 εἶτα οὐδὲ κίνησις ἅπασα ἀποδοκιμαστέα, εἴπερ μηδ' ὄρχησις, ἀλλ' ἡ φαύλων, ὅπερ καὶ Καλλιππίδῃ ἐπετιμᾶτο καὶ νῦν ἄλλοις, ὡς οὐκ ἐλευθέρας γυναῖκας μιμουμένων.*

3 ***Simonides*** ⟨Simmias *Bergkius*⟩ (***anth. Pal. VII, 20***)

ἐσβέσθης, γηραιὲ Σοφοκλέες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

Sotades apud Ioann. Stob. flor. LXXXVIII, 9, 14

Σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς, πνιγεὶς τέθνηκε.

[***Lucianus***] ***macrob. 24*** *Σοφοκλῆς ὁ τραγῳδοποιὸς ῥᾶγα σταφυλῆς καταπιὼν ἀπεπνίγη, πέντε καὶ ἐνενήκοντα* ⟨*ἔν τε καὶ ἐνενήκοντα Schultzius vita Soph. p. 23*⟩ *ζήσας ἔτη.*

8 ***Diodorus Siculus XIII, 103*** *περὶ δὲ τὸν αὐτὸν χρόνον* ⟨*ol. 93, 3*⟩ *ἐτελεύτησε Σοφοκλῆς ὁ Σοφίλλου, ποιητὴς τραγῳδιῶν, ἔτη βιώσας ἐνενήκοντα, νίκας δ' ἔχων ὀκτωκαίδεκα. φασὶ δὲ τὸν ἄνδρα τοῦτον τὴν ἐσχάτην τραγῳδίαν εἰσαγαγόντα καὶ νικήσαντα χαρᾷ περιπεσεῖν ἀνυπερβλήτῳ, δι' ἣν καὶ τελευτῆσαι.* ***Valerius Maximus VIIII, 12 ext. 5*** Sophocles ultimae iam senectutis cum in certamine tragoediam demisisset, ancipiti sententiarum eventu diu sollicitus aliquando tamen una sententia victor causam mortis gaudium habuit. ***Plinius nat. hist. VII, 180*** gaudio obiere — Sophocles et Dionysius, Siciliae tyrannus, uterque accepto tragicae victoriae nuntio.

13 ***Plinius nat. hist. VII, 109*** Sophoclem tragici cothurni principem defunctum sepelire Liber pater iussit obsidentibus moenia Lacedaemoniis, Lysandro eorum rege in quiete saepius admonito ut pateretur humari delicias suas. requisivit rex, qui supremum diem Athenis obiisset nec difficulter ex eis quem deus significasset intellexit pacemque funeri dedit. ***Pausanias I, 21, 2*** *λέγεται δὲ Σοφοκλέους τελευτήσαντος ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν Λακεδαιμονίους καὶ σφῶν τὸν ἡγούμενον ἰδεῖν ἐπιστάντα οἱ Διόνυσον κελεύειν τιμᾶς, ὅσαι καθεστήκασιν ἐπὶ τοῖς τεθνεῶσι, τὴν σειρῆνα τὴν νέαν τιμᾶν· καὶ οἱ τὸ ὄναρ ἐς Σοφοκλέα καὶ τὴν Σοφοκλέους ποίησιν ἐφαίνετο ἔχειν. εἰώθασιν δὲ καὶ νῦν ἔτι ποιημάτων καὶ λόγων τὸ ἐπαγωγὸν σειρῆνι εἰκάζειν.* ***Plutarchus Numa 4*** *Σοφοκλεῖ δὲ — τελευτήσαντι τυχεῖν ταφῆς ἄλλος θεὸς ὡς λέγεται παρέσχεν.*

Λακεδαιμονίων κατ' Ἀθηναίων Διόνυσος κατ' ὄναρ ἐπιστὰς Λυσάνδρῳ ἐκέλευσεν ἐπιτρέψαι τεθῆναι τὸν ἄνδρα εἰς τὸν τάφον· ὡς δ' ὠλιγώρησεν ὁ Λύσανδρος, δεύτερον αὐτῷ ἐπέστη Διόνυσος τὸ αὐτὸ κελεύων. ὁ δὲ Λύσανδρος πυνθανόμενος παρὰ τῶν φυγάδων, τίς εἴη ὁ τελευτήσας, καὶ μαθὼν ὅτι Σοφοκλῆς ὑπάρχει, κήρυκα πέμψας ἐδίδου θάπτειν τὸν ἄνδρα.

Λόβων δέ φησιν ἐπιγεγράφθαι τῷ αὐτοῦ τάφῳ τάδε·

κρύπτω τῷδε τάφῳ Σοφοκλῆ πρωτεῖα λαβόντα
τῇ τραγικῇ τέχνῃ, σχῆμα τὸ σεμνότατον.

Ἴστρος δέ φησιν Ἀθηναίους διὰ τὴν τοῦ ἀνδρὸς ἀρετὴν καὶ ψήφισμα πεποιηκέναι κατ' ἔτος αὐτῷ θύειν.

5 ὑπάρχει om. ABT | 7 *Λόβων* Bergkius: *λαβών* codd. *Πολέμων* Westermannus | *φασί* ς | *ἐπιγέγραπται* F *ἐπιγράψαι* GR *ἐπέγραψε* CI *Ἰοφῶν δὲ, φασίν, ἐπέγραψε* Westermannus *Ἰοφῶν δέ, ὥς φησιν* *, *ἐπέγραψε* Leutschius Philolog. I p. 132 | 8 *σοφοκλῆν* ς | 10 *ἀθηναίους διά* om. FRCI

7 Valerius Maximus VIII, 7 ext. 12 Sophocles quoque gloriosum cum rerum natura certamen habuit, tam benigne mirifica illi opera sua exhibendo quam illa operibus eius tempora liberaliter subministrando. prope enim centesimum annum attigit, sub ipsum transitum ad mortem Oedipode *ἐπὶ Κολωνοῦ* scripto, qua sola fabula omnium eiusdem studi poetarum praeripere gloriam potuit. idque ignotum esse posteris filius Sophoclis Iophon noluit, sepulcro patris quae rettuli insculpendo.

10 ***etymologicum magnum p. 256. 6*** *Λεξίων· οὕτως ὠνομάσθη Σοφοκλῆς ὑπὸ Ἀθηναίων μετὰ τὴν τελευτήν. φασὶν ὅτι Ἀθηναῖοι τελευτήσαντι Σοφοκλεῖ βουλόμενοι τιμὰς* [*αὐτῷ*] *περιποιῆσαι, ἠρῷον αὐτῷ κατασκευάσαντες ὠνόμασαν αὐτὸν Λεξίωνα ἀπὸ τῆς τοῦ Ἀσκληπιοῦ δεξιώσεως. καὶ γὰρ ὑπεδέξατο τὸν θεὸν ἐν τῇ αὐτοῦ οἰκίᾳ καὶ βωμὸν ἱδρύσατο. ἐκ τῆς αἰτίας οὖν ταύτης Λεξίων ἐκλήθη.* ***Plutarchus Numa 4*** *Σοφοκλεῖ δὲ καὶ ζῶντι τὸν Ἀσκληπιὸν ἐπιξενωθῆναι λόγος ἐστὶ πολλὰ μέχρι δεῦρο διασώζων τεκμήρια.* ***Marinus Procl. 29*** *ἡ οἴκησις ὑπῆρχεν, ἣν καὶ ὁ πατὴρ αὐτοῦ Συριανὸς καὶ ὁ προπάτωρ, ὡς αὐτὸς ἐκάλει, Πλούταρχος ᾤκησαν, γείτονα μὲν οὖσαν τοῦ ἀπὸ Σοφοκλέους ἐπιφανοῦς Ἀσκληπιείου καὶ τοῦ πρὸς τῷ θεάτρῳ Διονυσίου.* ⟨*cf.* ***Pausanias I, 21, 7*** *τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔς τε τὰ ἀγάλματά ἐστιν, ὁπόσα τοῦ θεοῦ πεποίηται καὶ τῶν παίδων, καὶ ἐς τὰς γραφὰς θέας ἄξιον.* ***anth. Pal. VI, 145*** *βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος, ὃς πλεῖστον Μούσης εἶδε* ⟨*scr. εἶλε*⟩ *κλέος τραγικῆς.*⟩

Philostratus iun. imag. 13 *τί διαμέλλεις, ὦ θεῖε Σοφόκλεις, τὰ τῆς Μελπομένης δέχεσθαι δῶρα; τί δ' ἐς γῆν ὁρᾷς; ὡς ἔγωγ' οὐκ οἶδα, εἴτε ἀθροίζων ἐννοίας ἥδῃ, εἴθ' ὑπὸ τῆς πρὸς τὴν θεὸν ἐκπλήξεως. ἀλλὰ θάρσει, ὦ γαθέ, καὶ δέχου τὰ διδόμενα· ἀπόβλητα γὰρ οὐκ εἶναι τὰ θεῶν δῶρα, οἶσθα που ἐξ ἑνὸς τῶν Καλλιόπης θιασωτῶν ἀκούσας* ⟨***Hom. Il. Γ, 65***⟩. *ὁρᾷς γὰρ καὶ τὰς μελίττας, ὡς ὑπερπέτονταί σου καὶ βομβοῦσιν ἡδύ τι καὶ θεῖον, ἐπιλείβουσαι σταγόνας ἀπορρήτους τῆς οἰκείας δρόσου. τοῦτ' ἴσως καὶ τῆς σῆς ποιήσεως διαφύσεσθαι παντὸς μᾶλλον. ἢ πού τις καὶ ἀναφθέγξεται μικρὸν ὕστερον ἐπὶ σοί, 'Μουσῶν εὐκόλον ἀνθρήνιον' λέγων· καὶ δεδοικέναι τῷ παρεγγυήσει, μή πη λάθῃ τις ἐκπτᾶσα τοῦ σοῦ στόματος μέλιττα καὶ τὸ κέντρον ἀφυλάκτως ἐγχρίσασα. ὁρᾷς δέ που καὶ τὴν θεὸν*

Ἔχει δὲ δράματα, ὥς φησιν Ἀριστοφάνης, ἑκατὸν τέσσαρα, τούτων δὲ νενόθευνται δεκαεπτά.

Συνηγωνίσατο δὲ Αἰσχύλῳ καὶ Εὐριπίδῃ καὶ Χοιρίλῳ καὶ Ἀριστίᾳ καὶ ἄλλοις πολλοῖς καὶ Ἰοφῶντι τῷ υἱῷ.

Τὸ πᾶν μὲν οὖν †Ὁμηρικῶς ὠνόμαζε· τούς τε γὰρ μύθους φέρει κατ' ἴχνος τοῦ ποιητοῦ καὶ τὴν Ὀδύσσειαν δ' ἐν πολλοῖς δράμασιν ἀπογράφεται. παρετυμολογεῖ δὲ καθ' Ὅμηρον καὶ τοὔνομα τοῦ Ὀδυσσέως·

ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς·
πολλοὶ γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί.

ἠθοποιεῖ δὲ καὶ ποικίλλει καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται,

1 ρλ΄ post duarum triumve litterarum spatium A ἑκατὸν τριάκοντα T | 2 ἑπτά Bergkius | 3 εὐριπίδη χοιρίλῳ A χοιριάλῳ CI χειρίλῳ T χοιρίῳ G | καὶ Ἀριστίᾳ om. FRCI | 4 πολλοῖς om. A | 5 οἰκονομεῖ Bergkius Ὁμηρικὸς ὠνομάζετο Lechnerus de Sophocle poeta ὁμηρικωτάτῳ p. 4 | 7 ὑπογράφεται FRCI | δυσμενεῖς Nauckius | 11 ἠθοποιεῖ τε AG ἠθοποιεῖται δὲ FRCI

αὐτὴν, τὸ μὲν ὑψηγόρον καὶ ἐπηρμένον τῆς γνώμης ἀπόθετον ἔχουσαν ἐς σὲ νῦν καὶ μειδιάματι εὐμενεῖ τὸ δῶρον μετροῦσαν. Ἀσκληπιὸς δὲ οἶμαι οὗτος ἐγγὺς, παιᾶνα που παρεγγυῶν γράφειν καὶ κλυτόμητις οὐκ ἀπαξιῶν παρὰ σοῦ ἀκοῦσαι. βλέμμα τε αὐτοῦ πρὸς σὲ φαιδρότητι μεμιγμένον παρὰ μικρὸν ὕστερον ἐπιξενώσεις αἰνίττεται.

Philostratus Apoll. Tyan. VIII, 7 p. 339 ἐννοήσας δὲ Σοφοκλέα τὸν Ἀθηναῖον, ὃς λέγεται καὶ ἀνέμους θέλξαι τῆς ὥρας ὑπερπνεύσαντας.

vitae X oratt. p. 841 F εἰσήνεγκε δὲ καὶ νόμους ⟨*Lykurgus*⟩ — τὸν δὲ ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι τῶν ποιητῶν Αἰσχύλου Σοφοκλέους Εὐριπίδου ⟨*cf. Harpocration* θεωρικά⟩ — Φιλῖνος δὲ ἐν τῇ πρὸς Σοφοκλέους καὶ Εὐριπίδου εἰκόνας. *Paus. I, 21, 1* εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας καὶ κωμῳδίας ποιητῶν, αἱ πολλαὶ τῶν ἀφανεστέρων· ὅτι μὴ γὰρ Μένανδρος οὐδεὶς ἦν ποιητὴς κωμῳδίας τῶν εἰς δόξαν ἡκόντων, τραγῳδίας δὲ κεῖνται τῶν φανερῶν Εὐριπίδης καὶ Σοφοκλῆς. — τὴν δὲ εἰκόνα τὴν Αἰσχύλου πολλῷ τι ⟨τι *Schubartus* τε *codd.*⟩ ὕστερον τῆς τελευτῆς δοκῷ ποιηθῆναι ἐκ ⟨ἐκ *Schubartus* καί *codd.*⟩ τῆς γραφῆς ἣ τὸ ἔργον ἔχει τὸ Μαραθῶνι⟩

καὶ τὰς τραγῳδίας αὐτῶν ἐν κοινῷ γραψαμένους φυλάττειν καὶ τὸν τῆς πόλεως γραμματέα παραναγινώσκειν, τοῖς δ' ⟨δ' *add. Bernhardyus gr. litt. II, 2 p. 111*⟩ ὑποκρινομένοις οὐκ ἐξεῖναι παρ' ⟨παρ' *Wyttenbachius* γάρ *codd.*⟩ αὐτὰς ὑποκρίνεσθαι.

2 *Crameri anecd. Oxon. IIII p. 315* πολλὰ γὰρ νοθευόμενά ἐστιν ὡς ἡ Σοφοκλέους Ἀντιγόνη· λέγεται γὰρ εἶναι Ἰοφῶντος ⟨*cod.* Ἀντιφῶντος⟩ τοῦ Σοφοκλέους υἱοῦ.

4 *schol. V Aristoph. ran. 73* υἱὸς Σοφοκλέους ὁ Ἰοφῶν. ἠγωνίσατο δὲ καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ· διὸ ἀμφιβάλλει μήποτε τοῦ Σοφοκλέους εἴη εἰρηκὼς τραγῳδίαν. *argumentum Euripidis Hippolyti* ἐδιδάχθη ἐπὶ Ἀμείνονος ἄρχοντος ὀλυμπιάδι πζ΄ ἔτει τετάρτῳ. πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων.

6 *Athenaeus VII p. 177 E* ἔχαιρε δ' ὁ Σοφοκλῆς τῷ ἐπικῷ κύκλῳ, ὡς καὶ ὅλα ⟨*num* πολλά?⟩ δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιίᾳ.

Ὁμηρικὴν ἐκματτόμενος χάριν. ὅθεν εἰπεῖν †Ἰωνικόν τινα μόνον Σοφοκλέα τυγχάνειν Ὁμήρου μαθητήν. καὶ ἄλλοι μὲν γὰρ πολλοὶ μεμίμηνταί τινα τῶν πρὸ αὐτῶν ἢ τῶν καθ' αὐτοὺς, μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθ' ὃ καὶ μέλιττα ἐλέγετο. ἤνεγκε δὲ τὰ † μικτὰ, εὐκαιρίαν, γλυκύτητα, τόλμαν, ποικιλίαν.

Οἶδε δὲ καιρὸν συμμετρῆσαι καὶ πράγματα, ὥστ' ἐκ μικροῦ ἡμιστιχίου ἢ λέξεως μιᾶς ὅλον ἠθοποιεῖν πρόσωπον. ἔστι δὲ τοῦτο μέγιστον ἐν ποιητικῇ, δηλοῦν ἦθος ἢ πάθος.

Φησὶν οὖν Ἀριστοφάνης ὅτι κηρὸς ἐπεκαθέζετο * *, ἄλλη δὲ Σοφοκλέους τοῦ μέλιτι τὸ στόμα κεχρισμένου.

1 εἰπεῖν λέγεται T Ἴωνα τὸν ποιητήν Meinekius Ἴωνα τὸν Χῖον vel Ἴωνα τὸν τραγικόν vel Ἴωνα vel *Πλατωνικόν τινα* Bergkius παρὰ * Ἰωνικόν τινα Leutschius p. 133 qui comici poetae nomen excidisse putat | 2 καὶ om. GI | μὲν γὰρ om. FRCI | 5 τὰ μέγιστα Bergkius | 7 τὰ πράγματα Bergkius | 8 ἢ λέξεως Brunckius: ἤλεγξεν ὡς AGB ὡς FRC om. I | ὥστε ἐκ βράχεος κώλου ἤρκεσεν ὅλον ἠθοποιῆσαι τὸ πρόσωπον T | 10 θηρός FI θυρός (superscr. κηρός) C καιρός Westermannus | ἐπεκαθέζετο τοῖς χείλεσιν αὐτοῦ Triclinius | ἄλλη Westermannus: ἄλλοι codd. ἄλλοτε Ritterus ἄλλος Bergkius

1 *Dionysius Halic. de comp. verb. 24* τῶν δ' ἄλλων ὅσοι τὴν αὐτὴν ἐκείνῳ μεσότητα ἐπετήδευσαν, ὕστεροι μὲν ἐκεῖνοι μακρῷ παρ' Ὅμηρον ἐξεταζόμενοι φαίνοιντ' ἄν· καθ' ἑαυτοὺς δὲ εἰ θεωροίη τις αὐτούς, ἀξιοθέατοι· μελοποιῶν μὲν Στησίχορός τε καὶ Ἀλκαῖος, τραγῳδοποιῶν δὲ Σοφοκλῆς.

2 *Diogenes Laert. IIII, 20* ἦν ⟨*Polemo*⟩ δὲ καὶ φιλοσοφοκλῆς, καὶ μάλιστα ἐν ἐκείνοις ὅπου κατὰ τὸν κωμικὸν τὰ ποιήματα αὐτῷ κύων τις ἐδόκει συμποιεῖν Μολοττικός· καὶ ἔνθα ἦν κατὰ τὸν Φρύνιχον οὐ γλύξις οὐδ' ὑπόχυτος ἀλλὰ Πράμνιος. ἔλεγεν οὖν τὸν μὲν Ὅμηρον ἐπικὸν εἶναι Σοφοκλέα, τὸν δὲ Σοφοκλέα Ὅμηρον τραγικόν. *Suidas* Πολέμων· — ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ καὶ ἴσως ἔχειν ἑκάτερον αὐτῶν σοφίας ἔλεγεν ὥστε καὶ φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.

4 *Porphyrius apud Eusebium praep. evang. X, 3* ὁ Ἀλεξανδρεὺς Φιλόστρατος περὶ τῆς τοῦ Σοφοκλέους κλοπῆς πραγματείαν κατεβάλετο.

schol. Sophocl. Oed. Col. 17 ἐκράτησε μεγάλως τῇ φράσει, ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί. *schol. Aristoph. vesp. 462* ὁ Σοφοκλῆς γὰρ ἡδύς, διὸ καὶ μέλιττα ἐκαλεῖτο. *schol. Sophocl. Ai. 1199* ἥδιστος ὢν ὁ Σοφοκλῆς πάλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν· ὅθεν καὶ μέλιττα ἐκλήθη.

10 *Dio Chrysostomus LII, 17* τά τε μέλη ⟨*in Sophoclis Philocteta*⟩ οὐκ ἔχει πολὺ τὸ γνωμικὸν οὐδὲ τὴν πρὸς ἀρετὴν παράκλησιν, ὥσπερ τὰ τοῦ Εὐριπίδου, ἡδονὴν δὲ θαυμαστὴν καὶ μεγαλοπρέπειαν· ὥστε μὴ εἰκῇ τοιαῦτα περὶ αὐτοῦ τὸν Ἀριστοφάνην εἰρηκέναι

ὁ δ' αὖ Σοφοκλέους τοῦ μέλιτι κεχρισμένου
ὥσπερ καδίσκου περιέλειχε τὸ στόμα.

Crameri anecd. Paris. I p. 19 εἰ μὲν δὴ πάντα τις Αἰσχύλῳ βούλεται τὰ περὶ σκηνὴν εὑρήματα προσνέμειν, ἐκκυκλήματα καὶ περιάκτους καὶ μηχανὰς ἐξώστρα τε καὶ προσκήνια καὶ διστεγίας καὶ κεραυνοσκοπεῖα

Φησὶ δὲ Ἀριστόξενος ὡς πρῶτος τῶν Ἀθήνηθεν ποιητῶν τὴν Φρυγίαν μελοποιΐαν εἰς τὰ ἴδια ἁρμάτια παρέλαβε καὶ τῷ διθυραμβικῷ τρόπῳ κατέμιξεν.

E SVIDA.

Σοφοκλῆς Σοφίλλου Κολωνῆθεν Ἀθηναῖος, τραγικός, τεχθεὶς κατὰ τὴν ογ' ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτους ἔτη ιζ'. οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ, καὶ πρῶτος τὸν χορὸν ἐκ πεντεκαίδεκα εἰσήγαγε † νέων, πρότερον δυοκαίδεκα εἰσιόντων. προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ. καὶ πρῶτος ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι ἀλλὰ μὴ τετραλογίαν. καὶ ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας καὶ λόγον καταλογάδην περὶ τοῦ χοροῦ, πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος. παῖδας δ' οὓς ἔσχεν οὗτοι, Ἰοφῶν, Λεωσθένης, Ἀρίστων, Στέφανος, Μενεκλείδης. τελευτᾷ δὲ μετ' Εὐριπίδην, ἐτῶν ἐνενήκοντα. ἐδίδαξε δὲ δράματα ρκγ', ὡς δέ τινες καὶ πολλῷ πλείω. νίκας δ' ἔλαβε κδ'.

3 *τοῦ διθυραμβικοῦ τρόπου* AG | 5 *σοφίλου* codd. *σωφίλου* A | 9 *νέος ὤν* Volkmannus de Suidae biographicis p. 4 *προσώπων* Dindorfius | 10 *πρῶτος* Bergkius: *αὐτός* codd. | *καὶ πρῶτος ἦρξε τοῦ μὴ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζειν ἀλλὰ τετραλογίαν* praemissis *πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος* Dindorfius, qui haec ad Phrynichum rettulit | 11 *τετραλογίαν* Meursius Sophocl. p. 90 *στρατολογεῖσθαι* AV *στρατολογίαν* B *στρατολογ'* E | 12 *καταλογάδην* om. A | 15 *ργ'* Boeckhius trag. gr. princ. p. 110

καὶ βροντεῖα καὶ θεολογεῖα καὶ γεράνους καί † που καὶ ξυστίδας καὶ βατραχίδας καὶ πρόσωπα καὶ κοθόρνους καὶ ταυτὶ τὰ ποικίλα σύρματά τε καὶ καλύπτραν καὶ κόλπωμα καὶ παράπηχυ καὶ ἀγοηνὸν καὶ ὑποκριτὴν ἐπὶ τῷ δευτέρῳ τὸν τρίτον, ἢ καὶ Σοφοκλῆς ἔστιν ἃ τούτων προσεμηχανήσατο καὶ προσεξεῦρεν, ἔστι τοῖς βουλομένοις ὑπὲρ τούτων ἐρίζειν καὶ ἕλκειν ἐπ' ἄμφω τὴν φήμην τοῦ λόγου. τήν γε μὴν γλυκύτητα τὴν τῶν ἐπῶν καὶ τὴν φαιδρότητα καὶ τὴν καλλιφωνίαν καὶ τὴν ἐν τοῖς μέλεσι σωφροσύνην καὶ τὰς ἐπὶ τοῖς δράμασι συμπλοκὰς οὔτ' ἂν αὐτὸς αἰσχυνθείην Σοφοκλεῖ νέμων καὶ τὸν Ἀριστοφάνην ἀποδέχομαι λέγοντα

Σοφοκλέους τοῦ μέλιτι κεκραμένου
ὥσπερ καδίσκου περιέλειχεν τὸ στόμα.

8 *schol. Demosth. de cor. 267 et de falsa leg. 200* τριταγωνιστήν· — *ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ.*

11 *Philostratus Apoll. Tyan. III, 17* οἱ δὲ ᾖδον ᾠδήν, ὁποῖος ὁ παιὰν ὁ τοῦ Σοφοκλέους, ὃν Ἀθήνησι τῷ Ἀσκληπιῷ ᾄδουσιν. *Lucianus Demosth. 27* οὐδὲ γὰρ τ' Ἀσκληπιῷ μεῖόν τι γίγνεται τῆς τιμῆς εἰ, μὴ τῶν προσιόντων αὐτῷ ποιησάντων, ὁ παιὰν Ἀλισοδήμου ⟨εἰ μὴ προσιόντων τῶν εἰς αὐτὸν ποιησάντων παιᾶνα, τὰ Ἰσοδήμου *Bergkius poet. lyr. gr. p. 460*⟩ τοῦ Τροιζηνίου καὶ Σοφοκλέους ᾄδεται.

14 *Gellius XVII, 21, 14* consulibus Claudio Centone, Appii Caeci filio et M. Sempronio Tuditano ⟨*a. u. 514 a. Chr. 240*⟩ primus omnium L. Livius poeta fabulas docere Romae coepit post Sophoclis et Euripidis mortem ⟨*ol. 93, 3 a. Chr. 406*⟩ annis plus fere centum et sexaginta.

E CHRONICO PARIO

ep. 56 *ἀφ' οὗ Σοφοκλῆς ὁ Σοφίλλου ὁ ἐκ Κολωνοῦ ἐνίκησε τραγῳδίᾳ ἐτῶν ὢν ΔΔΓΙΙΙ ἔτη ΠΗΓΙ ἄρχοντος Ἀθήνησι Ἀψεφίονος* ⟨*ol. 70, 4*⟩.

ep. 64 *ἀ[φ] οὗ Σο[φ]οκλῆς ὁ ποιητὴς βιώσας ἔτη [Γ]ΔΔΔΔΙ ἐτελεύτησεν καὶ Κῦρος ἀνέβ[η ἔτη . ΗΔΔΔΔΙΙ ἄρχ]οντος Ἀθήνησι Καλλίου τοῦ [δεν]τέρου* ⟨*ol. 93, 3*⟩.

C. I. Gr. 2374 | 3 *Ἀψηφίονος* marmor | 6 *προτέρου* marmor

2 *Plutarchus Cim. 8* ἔθεντο δ' εἰς μνήμην αὐτοῦ ⟨*Cimonis Thesei ossa ex Scyro insula Athenas portantis*⟩ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος Ἀψεφίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος, ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποίησατο τῷ θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μίας ἕκαστον. ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε· νικήσαντος δὲ τοῦ Σοφοκλέους λέγεται τὸν Αἰσχύλον περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα χρόνον οὐ πολὺν Ἀθήνησι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται. (*cf. Plutarchus Thes. 36* μετὰ τὰ Μηδικὰ Φαίδωνος ἄρχοντος μαντευομένοις τοῖς Ἀθηναίοις ἀνεῖλεν ἡ Πυθία τὰ Θήσεως ἀναλαβεῖν ὀστᾶ καὶ θεμένους ἐντίμως παρ' αὐτοῖς φυλάττειν. — κομισθέντων δὲ τούτων ὑπὸ Κίμωνος ἐπὶ τῆς τριήρους ἡσθέντες οἱ Ἀθηναῖοι πομπαῖς τε λαμπραῖς ἐδέξαντο καὶ θυσίαις, ὥσπερ αὐτὸν ἐπανερχόμενον εἰς τὸ ἄστυ.) *vita Aeschyli* ἀπῆρε δὲ πρὸς Ἱέρωνα τὸν Σικελίας τύραννον, κατά τινας μὲν ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ.

Plinius nat. hist. XVIII, 65 ita tamen ut ante mortem eius ⟨*Alexandri, ol. 114, 1*⟩ annis fere CXLV Sophocles poeta in fabula Triptolemo frumentum Italicum ante cuncta laudaverit ad verbum translata sententia 'et fortunatam Italiam frumento canere candido'.

EPIGRAMMATA

1 *Σιμμίου Θηβαίου.*

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου,
τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
πολλάκις ὃν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
βλαῖσος Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην,
τύμβος ἔχει καὶ γῆς ὀλίγον μέρος· ἀλλ' ὁ περισσὸς
αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.

1 anthol. Pal. VII, 21 Simmiae Rhodii putat Meinekius | 2 *τραγικῆς* cod. Pal. | ὃν Heckerus comm. crit. I p. 263: *ἐν* cod. Pal. | 5 sq. *ἀλλὰ περισσὸν αἰῶν' — δέρκεαι* Heckerus

2 *Τοῦ αὐτοῦ.*

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους,
καὶ πεταλὸν πάντῃ θάλλοι ῥόδου ἥ τε φιλορρώξ
ἄμπελος ὑγρὰ πέριξ κλήματα χευαμένη,
εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
ἤσκησ' ἐκ Μουσέων ἄμμιγα καὶ Χαρίτων.

3 *Ἐρυκίου.*

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεες,
σκηνίτης μαλακοὺς κισσὸς ἅλοιτο πόδας,
αἰεί τοι βουπαίσι περιστάζοιτο μελίσσαις
τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι,
ὡς ἄν τοι ῥείῃ μὲν ἀένναος Ἀθηίδι δέλτῳ
κηρός, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχῃς πλοκάμους.

4 *Διοσκορίδου.*

α. Τύμβος ὅδ' ἐστ', ὦνθρωπε, Σοφοκλέος, ὃν παρὰ Μουσέων
ἱρὴν παρθεσίην, ἱερὸς ὤν, ἔλαχον·
ὅς με τὸν ἐκ Φλιοῦντος ἔτι τρίβολον πατέοντα
πρίνινον ἐς χρύσεον σχῆμα μεθηρμόσατο
καὶ λεπτὴν ἐνέδυσεν ἀλουργίδα· τοῦ δὲ θανόντος
εὔθετον ὀρχηστὴν τῇδ' ἀνέπαυσα πόδα.
β. Ὄλβιος, ὡς ἀγαθὴν ἔλαχες στάσιν! ἦ δ' ἐνὶ χερσὶν
κούριμος ἐκ ποίης ἥδε διδασκαλίης;
α. Εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
εἴτε καὶ Ἠλέκτραν· ἀμφότεραι γὰρ ἄκρον.

2 anthol. Pal. VII, 22 | 1 *τύμβοιο* Planudes: *τύμβου* cod. Pal. | *γρ. ἐπίης* 4 *κλίματα* cod. Pal. | 5 *εὐμαθίης* cod. Pal. | 6 *Μουσέων* Iacobsius: *Μουσῶν* cod. Pal. | *ἤσκησ' ἐκ — κἀκ* Heckerus comm. crit. I p. 264: *ἤσκησεν — καί* cod. Pal.

3 anthol. Pal. VII, 36 | 5 *ἀέννaος* Planudes: *ἀγανὸς* cod. Pal. *ἀεὶ γάνος — κηροῦ* Iacobsius

4 anthol. Pal. VII, 37 | 1 *Μουσέων* Iacobsius: *Μουσῶν* cod. Pal. | 2 *παρθεσίην* Brunckius: *παρθενίην* cod. Pal. | 4 *σᾶμα* cod. Pal. | 6 *τῷ δ'* cod. Pal. | 7 *ἁγνὴν* Heckerus comm. crit. I p. 267 | *ἔλαχε* cod. Pal. | *εἰδ' ἐνί* cod. Pal. | 9 *εἴτε σόν* cod. Pal.

4 8 *Pollux IIII, 140 ἡ δὲ κούριμος παρθένος ἀντὶ ὄγκου ἔχει τριχῶν κατεψηγμένων διάκρισιν καὶ βραχέα ἐν κύκλῳ περικέκαρται, ὕπωχρος δὲ τὴν χροίαν. ἡ δὲ ἑτέρα κούριμος παρθένος τἆλλα ὅμοια πλὴν τῆς*

5 *Στατυλλίου Φλάκκου.*

Οἰδίποδες δισσοί σε καὶ Ἠλέκτρη βαρύμηνις
καὶ δείπνοις ἐλαθεὶς Ἀτρέος Ἥλιος,
ἄλλα τε πουλυπαθέσσι, Σοφόκλεες, ἀμφὶ τυράννοις
ἄξια τῆς Βρομίου βύβλα χοροιτυπίης
ταχὺν ἐπὶ τραγικοῖο κατήνεσσαν θιάσοιο,
αὐτοῖς ἡρώων φθεγξάμενον στόμασιν.

5 anthol. Pal. VIIII, 98 | 1 *δισσοί τε* cod. Pal. | 4 *χαροι τυπίης* cod. Pal. | 5 *ἐπεί* cod Pal.

διακρίσεως καὶ τῶν κύκλῳ βοστρύχων, ὡς ἐκ πολλοῦ δυστυχοῦσα. | cf. ***Dioscorides anthol. Palat. VII, 707***

Κηγὼ Σωσιθέου κομέω νέκυν, ὅσσον ἐν ἄστει
ἄλλος ἀπ' αὐθαίμων ἡμετέρων Σοφοκλῆν,
Σκίρτος ὁ πυρρογένειος· ἐκισσοφόρησε γὰρ ὠνὴρ
ἄξια Φλιασίων ναὶ μὰ χορούς σατύρων,
κἠμὲ τὸν ἐν καινοῖς τεθραμμένον ἤθεσιν ἤδη
ἤγαγεν εἰς μνήμην πατρίδ' ἀναρχαΐσας,
καὶ πάλιν εἰσώρμησε τὸν ἄρσενα Δωρίδι Μούσῃ
ῥυθμὸν πρός τ' αὐδὴν ἑλκόμενος μεγάλην
†ἑπτὰ δέ μοι ἔρσων τύπος οὐ χερὶ καινοτομηθεὶς
τῇ φιλοκινδύνῳ φροντίδι Σωσιθέου.

ει

(1 ἄστη cod. Pal. | 2 ἄλλος Brunckius: ἄλλον cod. Pal. ἄλλου ὕπ' Naekius opp. I p. 8 | ἡμέτερον Heckerus comm. crit. I p. 269 | Σοφοκλῆν Brunckius: Σοφοκλῆς cod. Pal. | 3 πυρριγένειος cod. Pal. | 5 τεθρυμμένον Wieselerus satyrsp. p. 60 | 6 εἰς σκηνὴν Naekius | 7 εἰσώρμησε Heckerus: εἰσώρμησα cod. Pal. | 8 πρὸς δ' Naekius | 9 εὔαδεν ἡρώων τύπος Salmasius, prob. Naekius εὔαδε μοι θύρσων κτύπος Iacobsius ἑπταδύμων τύπος ἄστρων Heckerus | ἐν χερί Hermannus opp. I p. 53 οὐχ ἑνί Naekius)

ANNORVM NOTATIO.

Ol.	a. Chr.	
70,4	497	nascitur Sophocles ex computatione chronici Parii.
71,2	495	*γεννηθῆναι δ' αὐτόν ⟨Σοφοκλῆ⟩ φασιν ἑβδομηκοστῇ πρώτῃ ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος ἐπὶ ἄρχοντος Ἀθηνησι Φιλίππου (vita).*
72,3	490	*ἐν ⟨τῇ ἐν Μαραθῶνι⟩ μάχῃ συνηγωνίσατο Αἰσχύλος ὁ ποιητὴς [ἐτ]ῶ[ν] ὢν λέ (chron. Par.)*
74	484—481	*Ἀχαιός, — τραγικός, γέγονε κατὰ τὴν οδ' ὀλυμπιάδα — ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινι (Suidas).*
75,1	480	*⟨Σοφοκλῆς⟩ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν περὶ τρόπαιον γυμνὸς ἀληλιμμένος ἐχόρευσε μετὰ λύρας (Athen. I p. 20 F. vita).* *⟨Εὐριπίδης⟩ τῷ πρώτῳ ἔτει τῆς πε' ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Καλλιάδου (Diog. Laert. II, 45).*
75,4	476	*Θεμιστοκλῆς Φρεάρριος ἐχορήγει, Φρύνιχος ἐδίδασκεν, Ἀδείμαντος ἦρχεν (Plut. Them. 5).*
76,4	472	*ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ Πέρσαις Γλαύκῳ Προμηθεῖ (argum. Aesch. Pers.).*
77,4	468	*Σοφοκλῆς ἐνίκησε τραγῳδίᾳ ἐτῶν ὢν κε' ἄρχοντος Ἀθήνησι Ἀψεφίονος (chron. Par.),*
78,1	467	*ἐδιδάχθη ἐπὶ Θεαγενίδου ὀλυμπιάδι οη'. ἐνίκα ⟨Αἰσχύλος⟩ Λαΐῳ Οἰδίποδι Ἑπτὰ ἐπὶ Θήβας Σφιγγὶ σατυρικῇ. δευτε-*

Ol.	a. Chr.	
		ρος Ἀριστίας Περσεῖ Ταντάλῳ * Παλαισταῖς σατυρικοῖς τοῖς Πρατίνου πατρός. τρίτος· Πολυφράδμων Λυκουργεία τετραλογία (argum. Aesch. Sept.)
80,2	458	ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ ἕτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι Χοηφόροις Εὐμενίσι Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς (argum. Aesch. Agam.).
81,1	456	Αἰσχύλος ὁ ποιητὴς βιώσας ἔτη ξθ' ἐτελεύτησεν ἐν [Γέλ]ᾳ τῆς [Σι]κελίας ἄρχοντος Ἀθήνησι Καλλίου τοῦ προτέρου (chron. Par. cf. schol. Arist. Ach. 10).
	455	Εὐριπίδης ἤρξατο διδάσκειν γενόμενος ἐτῶν κς' ἐπὶ Καλλίου ἄρχοντος [κατὰ] ὀλυμπιάδα ὀγδοηκοστὴν πρώτην. πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας ἔτει πρώτῳ, ὅτε καὶ τρίτος ἐγένετο (vita Eurip.).
82	452—449	Ἴων Χῖος, τραγικός. — ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ' ὀλυμπιάδος (Suidas).
83	448—445	Ἀχαιός — ἐπεδείκνυτο δὲ κοινῇ σὺν * καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ' ὀλυμπιάδος (Suidas)
84,3	441	Εὐριπίδης ἐτῶν ὢν μγ' τραγῳδίᾳ πρῶτον ἐνίκησε — ἄρχοντος Ἀθήνησι Διφίλου (chron. Par.).
85,1	440	Ἀθηναῖοι δ' αὐτὸν ⟨Σοφοκλῆ⟩ † ξθ ἐτῶν ὄντα στρατηγὸν εἵλοντο πρὸ τῶν Πελοποννησιακῶν ἔτεσιν † ἑπτὰ ἐν τῷ πρὸς Ἀναίους πολέμῳ (vita Soph.). φασὶ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης (argum. Soph. Antig.).
85,?	438	ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος ὀλυμπιάδι πέ. πρῶτος ἦν Σοφοκλῆς. δεύτερος Εὐριπίδης Κρήσσαις Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος Τηλέφῳ Ἀλκήστιδι (argum. Eur. Alc.).
86,1	436	Σ]οφοκλῆς Κολω[νῆθεν ἑλληνοταμίας ἦν] (titulus ap. Boeckhium staatsh. II p. 456).
87,1	431	ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην ὀλυμπιάδα. πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης, Μήδεια Φιλοκτήτης Δίκτυς, Θερισταὶ σάτυροι (argum. Eurip. Med.).
87,4	429	ἐδιδάχθη ἐπὶ Ἐπαμείνονος ἄρχοντος ὀλυμπιάδι πζ' ἔτει τετάρτῳ. πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων (argum. Eurip. Hipp.).
90,4	417	Ἀγάθων — ἐπὶ Εὐφήμου στεφανοῦται (Athen. V. p. 217 A).
91,1	415	κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν ὀλυμπιάδα — πρῶτος ἦν Ξενοκλῆς — Οἰδίποδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι σατυρικῷ, δεύτερος Εὐριπίδης ἦν Ἀλεξάνδρῳ καὶ Παλαμήδῃ καὶ Τρῳάσι καὶ Σισύφῳ σατυρικῷ (Aelian. v. h. II, 8).
91,4	412	ἡ γὰρ ⟨Εὐριπίδου⟩ Ἀνδρομέδα ὀγδόῳ ἔτει ⟨ante ol. 93, 3⟩ προεισῆκται (schol. Arist. ran. 53). συνδεδίδακται τῇ Ἑλένῃ (schol. Arist. thesm. 1021).
92,3	409	ἐδιδάχθη ἐπὶ Γλαυκίππου ⟨Φιλοκτήτης⟩. πρῶτος ἦν Σοφοκλῆς (argum. Soph. Phil.).
92,4	408	Διοκλέους, ἐφ' οὗ τὸν Ὀρέστην ἐδίδαξε ⟨Εὐριπίδης⟩. (schol. Eurip. Or. 371).
93,3	406	ἀπὸ Καλλίου ἐφ' οὗ φασὶν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι (argum. Soph. Oed. C.).
		Ἀπολλόδωρος — φησὶ καὶ τὸν Εὐριπίδην κατὰ τὸν αὐτὸν ἐνιαυτὸν τελευτῆσαι (Diod. Sic. XIII, 103).
94,3	401	τὸν ἐπὶ Κολωνῷ Οἰδίποδα ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνος, ἐπὶ ἄρχοντος Μίκωνος (argum. Oed. C.).

ΣΟΦΟΚΛΕΟΥΣ

ΗΛΕΚΤΡΑ

Ὑπόθεσις

Ὑπόκειται ὧδε· τροφεὺς δείκνυσι Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γαρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσιν.

Τροφεύς ἐστιν ὁ προλογίζων πρεσβύτης, παιδαγωγός, ὁ [ὑποκείμενος καὶ] ὑπεκθέμενος τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς Στρόφιον καὶ ὑποδεικνὺς αὐτῷ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν κλέψας ἐκ τοῦ Ἄργους ὁ παιδαγωγὸς ἔφυγεν καὶ διὰ εἴκοσιν ἐτῶν ἐπανελθων εἰς τὸ Ἄργος μετ' αὐτοῦ δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

1 *δείκνυσι* Bergkius: *δεικνύς* L | 6 *στροφίον* L

Crameri anecd. Paris. I p. 7 *ἴδιον δὲ κωμῳδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι γέλωτα, τραγῳδίας δὲ πένθη καὶ συμφοράς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰν ἁπάντων, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ Σοφοκλέους Ἠλέκτρα ἐκ μέρους, ὥσπερ τινὲς φασιν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα. ⟨cf. argumentum Euripidis Alcestidis τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει. παρὰ τῶν τραγικῶν ⟨γραμματικῶν Nauckius τοῖς κριτικοῖς Hermannus⟩ ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν λήξαντα, ἅ ἐστι μᾶλλον κωμῳδίας ἐχόμενα.⟩* ***Ioannes Tzetzes*** *π. διάφ. ποιητῶν ⟨rh. mus. 1836 IIII p. 397. Crameri anecd. Oxon. III p. 337⟩* ***91***

σατυρικὸν δὲ Πρατίναν οἶδα μόνον,
ἄλλους δ' ἐφευρὼν, εἰ θέλεις, τέκνον, γράφε.

quibus ipse adscripsit *τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα γράψασι οὕτως 'τὸ δρᾶμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου καὶ ὁ Ὀρέστης καὶ ἡ Σοφοκλέους Ἠλέκτρα καὶ ὅσα τοιαῦτα σατυρικά ἐστι καὶ οὐ τραγικά· ἀπὸ συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσιν'. οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος, ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διάφορον. ἡ μὲν οὖν κωμῳδία δριμέως τινῶν καθαπτομένη διαβολαῖς ἐπὶ λοιδορίαις κινεῖ γέλωτα, ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας ἔχει γέλωτα πάνυ ἡδύτατον, οἷον τὸν ἐν Θυμέλαις.* ***proleg. schol. in Aristoph.*** *⟨rh. mus. 1848 VI p. 116⟩ τοῖς δὲ τραγικὰς βίβλους ἐξηγησαμένοις πεισθεὶς — εἶπον Ὀρέστην καὶ Ἄλκηστιν Εὐριπίδου καὶ τὴν Σοφοκλέους Ἠλέκτραν εἶναι σατυρικὰ δράματα, ὡς ἀπὸ πένθους εἰς χαρὰν καταλήγοντα, ἕως ἀναγνοὺς Εὐριπίδου πολλὰ δράματα εὗρον καὶ ἔγνων τὰ σατυρικὰ δράματα τέρψεις θυμελικὰς ἀμιγεῖς καὶ γέλωτα φέροντα.*

Ἀπορία. διὰ τί οὐκ ἐπιγέγραπται Σοφοκλέους Θάνατος Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀλλ' Ἠλέκτρα, καίτοι μή τι παθούσης αὐτῆς;

Λύσις. ἀπὸ τοῦ πολυπαθεστέρου προσώπου καὶ ἐπιμονεστέρου τὴν ἐπιγραφὴν ἐποίησε. παρεισάγει μὲν αὐτὴν ἐν τῷδε τῷ δράματι ὁ χορὸς θρηνοῦσαν αὐτὴν καὶ στενάχουσαν καὶ λυπουμένην καὶ ἐπιμένουσαν καὶ οὐχ ὥσπερ τὰ ἕτερα πρόσωπα ἀπερχομένην. ἐπιμένουσα γὰρ ἀεὶ ὀδύρεται καὶ στένει παθητικώτερον μεγὰ στονέουσα ⟨e cod. Florentino 2788.⟩

Cicero de fin. I, 2, 5 a quibus tantum dissentio ut, cum Sophocles vel optume scripserit Electram, tamen male conversam Atili mihi legendam putem.

Τὰ τοῦ δράματος πρόσωπα

Παιδαγωγός
Ὀρέστης
Ἠλέκτρα
Χορός
Χρυσόθεμις
Κλυταιμνήστρα
Αἴγισθος.

L codex Laurentianus bibliothecae Florentinae (plut. XXXII, 9) scriptus saeculo undecimo, saepe ipsius librarii manu correctus (L), postea ab eo qui scholia addidit (L) denique ab aliis, quorum manus inter se dignoscere non licet, mutatus (L). huius subscripta est integra varietas, a Fr. Duebnero in usum G. Dindorfi enotata, selecta codicum inde deductorum vel omnium (ω) vel quorundam (ς), inter quos

l Laurentianus (plut. XXXI, 10) saeculo XIIII ex L descriptus, quo tempore multae litterae facilius et certius quam hodie legi poterant.
p Parisinus 2712, olim Memmianus 515, Regius 2793, in membranis saeculo XIII scriptus, a W. Fröhnero in usum meum denuo collatus.
e Parisinus 2884.
g codex ex abbatiae Florentinae bibliotheca in Mediceam illatus (2725) in membranis saeculo XIIII scriptus.
Σ lectiones e scholiis ductae.

Scholia vetusta adscripta habent hic illic pleniora vel decurtata, forma etiam orationis paulum immutata, sed ex eodem fonte deducta

L codex Laurentianus (plut. XXXII, 9).
G codex ex abbatiae Florentinae bibliotheca in Mediceam illatus (2725).
F codex Laurentianus (plut. XXVIII, 25), chartaceus saeculi XIIII.
H codex Laurentianus (plut. XXXII, 14), chartaceus saeculi XIIII.
Suidae, qui simili codice usus est, nomen scholiorum, quae in ordinem recepit, in fine additum est.

ΠΑΙΔΑΓΩΓΟΣ

Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.

1 γρ. τυραννήσαντος L | 2 Macho apud Athenaeum XIII p. 579 A *δόντος δ' ἐπιστρέψασα μετὰ μικρὸν λέγει 'Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι'.* Plutarchus quaestt. symp. IX, 1, 2 p. 737 A *ἐμνήσθη τε καὶ τῆς Θεοδώρου τραγῳδοῦ γυναικὸς οὐ προσδεξαμένης αὐτὸν ἐν τῷ συγκαθεύδειν ὑπογύου τοῦ ἀγῶνος ὄντος, ἐπεὶ δὲ νικήσας εἰσῆλθεν πρὸς αὐτὴν ἀσπασαμένης καὶ εἰπούσης 'Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι'.* | 3 λεύσειν L

Ἀπειρόκαλον τὸ λέγειν ὅτι ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ (Od. V, 341 sqq.), οὕτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι· τῷ μὲν γὰρ ἀγνοοῦντι δείκνυσιν ὁ παιδαγωγός, τῷ δὲ ἀπιστοῦντι ἡ Ἀθηνᾶ. ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητής· τὸν τόπον τῆς σκηνῆς· τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο· τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας· τὸν συνόντα, ὅτι Πυλάδης· φησὶ γὰρ ὑποκατιὼν ⟨v. 16⟩ 'Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον'. | 1 *ὦ τοῦ στρατηγήσαντος*] *πολλάκις παρατηροῦμεν, ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσιν· καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος, ὅπερ ἦν ἀναγκαῖον πρόσωπον.* | * *schol. Eurip. Phoen. 1 παλαιά τις φέρεται δόξα ὡς Σοφοκλῆς μὲν ἐπιτιμήσειεν Εὐριπίδῃ ὅτι προέταξε τούτους τοὺς δύο στίχους ⟨'ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις'⟩, ὁ δὲ Εὐριπίδης ὅτι προέταξεν ἐν Ἠλέκτρᾳ ὁ Σοφοκλῆς τὸ 'ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτέ'.* * | 3 *προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπούντων ἡμῶν, τί δήποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν.* | * *Suidas πρόθυμος· ἐπιθυμῶν, ὀρεγόμενος 'παρόντι — ἀεί'.* *

τὸ γὰρ παλαιὸν Ἄργος, οὐπόθεις, τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὗξ ἀριστερᾶς δ' ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς ἐκ φονῶν ἐγὼ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν

4 τόδε γάρ e | 7 Agenis poeta apud Athenaeum XIII p. 595 F *οὐξ ἀριστερᾶς δ' ὅδε Πόρνης ὁ κλεινὸς ναός* | 10 πελοπιδαν supr. ων Ⱡ | 11 φονῶν Dindorfius: φόνων Lω

4 *Τὸ γὰρ παλαιὸν Ἄργος*] Ἄργος ὁμωνύμως τῇ χώρᾳ· ὡς Ὅμηρος ⟨*Il. Δ*, 52⟩ *Ἄργος τε Σπάρτη τε*. *παλαιὸν* δὲ ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι· ἔτι ⟨*H* ὅτι *L*⟩ δέ ἐστι καὶ τὸ † περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον, ὡς ἀπ' οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη. | Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην· οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. ⟨*Strabo VIII p. 377* διὰ δὲ τὴν ἐγγύτητα τὰς δύο πόλεις ὡς μίαν οἱ τραγικοὶ συνωνύμως προσαγορεύουσιν.⟩ | 6 *Αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου*] οὐκ ἀπ' ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος, ὅπερ ἀρχαιότατόν ἐστιν κατὰ τὴν ἐν τῷ Ἄργει ἀγοράν, ἐν ᾧ ⟨ἐν ἢ *leg.*⟩ καὶ πῦρ ἀπόκειται, περὶ οὗ πρόσθεν εἰρήκαμεν· ἔστι δὲ καταντικρὺ τοῦ Νεμεαίου Διός. ⟨*Paus. II*, 19, 5 ἐξῆς δὲ τῆς εἰκόνος ταύτης πῦρ καίουσιν ὀνομάζοντες Φορώνεως εἶναι· οὐ γὰρ τι ὁμολογοῦσι δοῦναι πῦρ Προμηθέα ἀνθρώποις, ἀλλὰ ἐς Φορωνέα τοῦ πυρὸς μετάγειν ἐθέλουσι τὴν εὕρεσιν.⟩ | *παραγενόμενοι οὖν εἰς Ἄργος, ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὴν πόλιν, λέγων, ἔστιν* ⟨πόλιν, ἣ *G*⟩ *οὐκ ἄπωθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόπτου φαίνεται, καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι. λυκοκτόνον* δὲ τὸν Ἀπόλλωνα οἱ μὲν διὰ τὸ νόμιον εἶναι ⟨καὶ *add.*⟩ τοὺς ἐπιβούλους αὐτῶν φονεύειν, διὸ καὶ λύκους αὐτῷ φασὶ θύεσθαι ἐν Ἄργει· οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῶον, ὡς καὶ τῆς Ἀρτέμιδος τὰς ἐλάφους, ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων ἐγχαράττεσθαι φασὶ λύκον, ὡς καὶ τὰς γλαῦκας Ἀθηναῖε. | * *Hesychius λυκοκτόνου θεοῦ· Σοφοκλῆς Ἠλέκτρᾳ. Ἀρίσταρχος, διὰ τὸ τὸν θεὸν νόμιον εἶναι καὶ τὴν τῶν βοσκημάτων φυλακὴν ποιούμενον τὸν Ἀπόλλωνα ἀναιρεῖν τοὺς* ⟨λύκους *add.*⟩. οὐ καλῶς ⟨*Schmidtius*, οὐκ ἄλλως *cod.*⟩. ἔστι γὰρ ὁ λύκος ἱερὸν Ἀπόλλωνος. *Eustathius ad Hom. Il. A*, 101 p. 448 διὸ καὶ Ἀπόλλωνι κατὰ μῦθον ὁ λύκος αἰνεῖτο ⟨ἀνεκεῖτο?⟩ καὶ νομίσματι ἐνεχαράττετο, καὶ λύκειος δὲ ἀπ' αὐτοῦ ἐκαλεῖτο αὐτός τε ὁ Ἀπόλλων καὶ ἀγορὰ δέ τις ἐν τῷ Ἄργει. | *Hesychius ἀγορὰ λύκειος· ἐν Ἄργει* ⟨*cf. Hesych. λύκειος ἀγορά.*⟩ *Eustathius ad Hom. Il. B*, 824 p. 354 λύκειος ἀγορὰ ἡ καὶ παρὰ Σοφοκλεῖ διὰ διφθόγγου, ἐν ᾗ φασὶ Λύκιος Ἀπόλλων ἵδρυτο. *| 7 *Οὐξ ἀριστερᾶς*] ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσιν Ἥρας ναός· ἐκ Φωκίδος δὲ παραγενόμενοι διὰ Κορίνθου πεποίηνται τὴν ὁδόν. ⟨*Paus. II*, 17, 1 Μυκηνῶν δὲ ἐν ἀριστερᾷ πέντε ἀπέχει καὶ δέκα στάδια τὸ Ἡραῖον.⟩ | 9 *Τὰς πολυχρύσους*] Ὅμηρος· ⟨*Il. H*, 180 *X*, 46. *Od. γ*, 305⟩ πολυχρύσοιο Μυκήνης. | 10 *Πολύφθορον*] ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.

ἤνεγκα κἀξέσωσα κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν, Ὀρέστα καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν· ὡς † ἐνταῦθ' ἐμὲν
ἵν' οὐκέτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή.

ΟΡΕΣΤΗΣ

ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ' ὀρθὸν οὖς ἵστησιν, ὡσαύτως δὲ σὺ
ἡμᾶς τ' ὀτρύνεις καὐτὸς ἐν πρώτοις ἔσει.

13 schol. Hom. Il. I, 485 *τοσοῦτον· δυσωπητικὸν τὸ τῆς δείξεως, ὡς καὶ Σοφοκλῆς 'καὶ σ' ἐθρεψάμην τοσόνδ' ἐς ἥβης'* | *κἀνεθρεψάμην* Steinackerus | 14 *τιμωρῶν φθόνου* L *τιμωρὸν φόνου* Ⱡ vel Ⱡ | 15 in margine add. Ⱡ | 16 *Πυλάδη* L *σ* eras. Ⱡ | *βουλεύετον* Porsonus tracts p. 221| *ἡμιν* Bergkius | 20 *στέγησ* | 20 del. Nauckius | 21 *ξυνάπτετ' οὖν* Nauckius *ξυναπτέον* e Toupius emend. I p. 116 | *ἐμέν* L *ἐσμέν* supr. l *ἐμέν* p (et in marg. *ἤτοι ἐσμέν. ἀναλογότερον γὰρ τὸ ἐμὲν τοῦ ἐσμέν· ἐπειδὴ πλεονασμοῦ τοῦ σ̄ γέγονεν*) *ἐσμέν ς ὡς ἐνταῦθ' ἴμεν* Dawesius misc. p. 282 *ὡς ἐνταῦθ' ἔβης* Dindorfius *ὡς καθέσταμεν* Kreusslerus *ὡς ἐλήλυθμεν* Schmidtius philol. XIIII p. 469 *ὡς ἐνταῦθα μὲν οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός* Monkius *ὡς ἐνταῦθ' ἵνα οὐκ ἔστιν ὀκνεῖν καιρός* Hotchkisius apud Gaisfordum ad Hephaest. II p. 10 *ὡς ἐνταῦθ' ἵνα οὐ καιρὸς ὀκνεῖν ἐσμέν* Porsonus tracts p. 221 *ὡς ἐνταῦθ' ἵνα οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός* Hermannus *ὡς, ἵν' ἔσταμεν, οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός* Hartungus *ἐνταῦθ' — ἀλλ'* del. Schwerdtius | 25 Philostratus vit. soph. II, 23, 4 *καὶ εἶδον ἄνδρα παραπλήσιον τῷ Σοφοκλείῳ ἵππῳ, νωθρὸς γὰρ ὑφ' ἡλικίας δοκῶν νεάζουσαν ὁρμὴν ἐν ταῖς σπουδαῖς ἀνεκτᾶτο.* | 27 *ὡσαύτωσ* prius *σ* in litura L | 28 *τ* factum ex alia littera *γ* ut videtur L | *πρώτοισ* L | *ἔσει Σ*: *ἔπηι* L *ἔπειω* | *πάρει* P. Leopardus emend. II, 25 *ἔτ' εἶ* vel *πρώτοισιν εἶ* Nauckius

13 *Ἤνεγκα*] ἐκ τούτου τὴν ἡλικίαν τοῦ νέου σημαίνει. | *τὸ ἤνεγκα τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς περὶ παιδαρίου οὔτι βαδίσαι δυναμένου.* | 19 *Μέλαινά τ' ἄστρων*] ἐχρῆν οὕτως εἰπεῖν 'μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν'· ὡς τὸ ⟨*Hom. Il. E*, 726⟩ 'ὁ δὲ χασσάμενος πελεμίχθη'. | ἢ οὕτως 'ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη', ἵν' ᾖ τὸ ἄστρων πρὸς τὸ ἐκλέλοιπεν. | 22 *Ἀκμή*] σπουδή. *πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις, ἃ ταχέως συμβουλεύει τελεσθῆναι.* | 23 *διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα ποιεῖν καὶ λέγειν.* | 24 *Ἐσθλὸς εἰς ἡμᾶς γεγώς*] τοῦ εἶναι πιστὸς εἰς ἡμᾶς. | 26 *Ἐν τοῖσι δεινοῖς*] ἐν τοῖς πολέμοις. | 28 *Ἔπῃ*] πρῶτος ⟨*Dindorfius αἰ L*⟩ ἔσῃ διὰ τὴν ἀπὸ τοῦ γήρως εὐβουλίαν.

τοιγὰρ τα μὲν δόξαντα δηλώσω, σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδοὺς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὶ
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος ὧν πεύσει τάχα·
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολὼν, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ' ἴσθι πᾶν τὸ δρώμενον,
ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ' οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεὺς, παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὃ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων·

33 πατρί Le: πατρός ⊾ς | 35 Eustathius ad Hom. Il. I, 309 p. 751 καὶ οὕτω μὲν ἐχρῆν περισπᾶσθαι τὸ χρή· ἴσως δὲ ὀξυτονήθη πρὸς διαστολὴν τοῦ χρῇ, ὅ ἐστι μαντεύεσθαι οἷον 'χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος', cf. ad Il. A, 216 p. 89. T, 194 p. 1170. etymologicum magnum p. 814 χρῶ σημαίνει — τὸ μαντεύομαι ὡς τὸ 'τοιαῦθ' ὁ Φοῖβος χρῇ'. χρᾶ ς | πεύσηι L | 41 ἧμιν Bergkius | 43 ὑποπτεύουσιν ς ὑποπτεύσωσιν ς | ᾐκισμένον Bergkius | 44 τοιῶιδε L | 45 Φωκέως Bentleius Porsonus tracts p. 221 Froehlichius Kruegerus ad Dion. Hal. hist. p. 290 | ὁ ς Eustathius

31 Εἰ μή τι καιροῦ τυγχάνω] εἴ τι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον, ὅ ἐστιν ἐπανόρθωσον ⟨Suidas⟩. ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον, ὅτι ταῖς παλαιτέροις τῶν πρωτείων παραχωρεῖ καὶ ⟨τοῖς — καὶ add. GH⟩ μὴ πάνυ αὐθέκαστος φαίνεται. | 32 διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν. | 35 Χρῇ] μαντεύεται ⟨Suidas⟩. | 36 Ἄσκευον αὐτόν] ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν Ὀρέστην. οἷον μὴ μετὰ πολέμου ἐπεμβῆναι. | * Suidas ἄσκευον· ἀντὶ τοῦ ἀπαράσκευον, ἄνευ ὅπλων. * | 39 Ὅταν σε καιρὸς εἰσάγῃ] ὅταν σε ὁ καιρὸς καλῇ. | 40 Ἴσθι πᾶν τὸ δρώμενον] περιέργασαι τὰ πραττόμενα πάντα. | 42 Οὐ γάρ σε μή] τοῦ πιθανοῦ χάριν. | τὸ μή ἀττικῶς πλεονάζει. | Οὐ γάρ σε μὴ χρόνῳ] τινὲς τὸ ἠνθισμένον ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. τοῦτο δὲ ἀπίθανον· ἐγνώσθη γὰρ ἄν, εἰ καὶ τοσοῦτον ἤλλαξεν τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον. οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν, ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος. ⟨Suidas ἠνθισμένον⟩ | 45 Φωκεύς] τὸ Φωκέα προθεὶς ἐπήνεγκεν Φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων, ὁμοίως τῷ ⟨Hom. Od. θ, 326⟩ 'ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμείδης Ἀφροδίτη, ἐς Πάφον'. ἐλέγοντο γὰρ ὁλοσχερέστερον μὲν Φωκεῖς, ἐπὶ μέρος δὲ Κρισαῖοι, Φανοτεῖς. τινὲς δὲ ὄνομα φασὶ τὸ Φανοτέως. | 46 Δορυξένων] ἀντὶ τοῦ φίλων·

ἄγγελλε δ' ὅρκον προστιθεὶς ὁθούνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ᾐρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά μοι κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν

47 ὅρκον Reiskius: ὅρκῳ Lp (cum scholio ἄγγελλε δὲ προστιθείς, ἀγγελίαν δηλαδή· ὅρκῳ λέγεται δὲ ἀντιστρόφως ἀντὶ τοῦ προστιθεὶς ὅρκον τῇ ἀγγελίᾳ) ω | 51 ὡς ἔφη θεός Wunderus | 52 λοιβαῖσι L τε supr. ⊾ λοιβαῖς τε pς λοιβαῖς τό Suidae codd. ABC | Eustathius ad Hom. Il. H, 479 p. 692 καὶ ἡ νεκρικὴ χοὴ λοιβὴ παρὰ Σοφοκλεῖ ἐν τῷ 'τύμβον λοιβαῖσι στέψω'. | 54 ἠρμένοι L ἠιρμένοι ⊾ | 55 μοι vel ποι L που ⊾ μοι g που ω | 56 κέπτοντες L λ supr. ⊾ | 57 φέρωμεν g: φέροιμεν Lω

κυρίως δὲ οἱ ἐν πολέμῳ γινόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης. | * Eustathius ad Hom. Il. Γ, 204 p. 405 περὶ δὲ δορυξένου Παυσανίας φησὶν ὅτι δορύξενος ὁ ἐκ πολεμίων φίλος καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖεν τινές. Σοφοκλῆς δὲ ἐν τῷ ὁ γὰρ, ἤγουν οὗτος, μέγιστος αὐτοῖς τυγχάνει δορυξένων ἢ παραχρᾶται τῇ λέξει ποιητικώτερον ἢ δριμέως δορυξένους λέγει τοὺς τοῖς φονεῦσι τοῦ Ἀγαμέμνονος φιλιωθέντας, ἵνα πολεμικῶς ἐχθραίνωσι τοῖς ἐκείνου παισίν, ὡς εἶναι οὕτω δορύξενον εἰπεῖν καὶ τὸν χάριν δουρὸς ἤτοι πολέμου συμμαχικῶς ξενισθέντα ὑπό τινων. * | 47 Ἄγγελλε δ' ὅρκῳ] μὴ σμικρολόγως τις ἐπιλάβηται, ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ· δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ, τὸ πᾶν ⟨τῷ πάντα G⟩ δόλῳ πράσσειν παρακελευομένῳ, ὥστε ἐν οἷς δοκεῖ ἐπιορκῶν ⟨ed. Rom. ἐπιορκεῖν codd.⟩ δυσσεβεῖν ⟨om. G.⟩, διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ θεῷ. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι ⟨καταμεῖναι G⟩ ἐς τὰ Πύθια (ed. Rom. ἐν τῇ πυθίᾳ L ἐν τῷ πυθίῳ G)· ἀνῆκται δὲ τοῖς χρόνοις· * * ἐπὶ Τριπτολέμου γάρ ⟨δέ G⟩ φασι γενέσθαι Πυθικὸν ἀγῶνα, ἑξακοσίοις ἔτεσι πρότερον. | 48 Ἐξ ἀναγκαίας τύχης] βιαίως, οἷον ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταυτομάτου. | ἐκ βίας, ἐκ συντυχίας, οὐκ ἰδίῳ θανάτῳ ⟨Suidas⟩. | 49 τοῖς χρόνοις ἀνῆκται· νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ Πυθικὸς ἀγών. | 50 Ὧδ' ὁ μῦθος ἑστάτω] ἡ ἔκβασις τοῦ λόγου ἢ τὸ κεφάλαιον. πιθανὸν δὲ τὸν ἐν Φωκίδι ἀνατρεφόμενον τὰ Πύθια ἀγωνίζεσθαι. | Ἑστάτω] δεδόχθω. | 51 Ὡς ἐφίετο] ὁ Ἀπόλλων δηλονότι. | ὡς ἐκέλευσεν. | 52 Λοιβαῖσι πρῶτον καὶ καρατόμοις] καὶ τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδὰς ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς, ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς [οἱ πλόκαμοι] ἐν τῷ τάφῳ ⟨τοῖς τάφοις G. Suidas χλιδή⟩. | 54 Τύπωμα χαλκόπλευρον] τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο ⟨Suidas τύπωμα⟩. | Τύπωμα] ἄγγος ⟨Suidas⟩. | 56 Κλέπτοντες] ἀπατῶντες, παραλογιζόμενοι. Ὅμηρος ⟨Il. A, 32⟩ 'κλέπτε νόῳ'.

ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;
[δοκῶ μὲν, οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.]
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον·
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὡς λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος·

61 *μὲν οὐδέν* ρω: *μὲν ὡς οὐδέν* L Suidas *λύπη* et *τί γάρ* (*με οὐδὲν* Suidae cod. A) | Eustathius Hysm. VIIII, 21 *τί δή με λυπεῖ τοῦθ', ὅταν λόγῳ θάνω, ἔργοις δὲ σωθῶ κἀξενέγκωμαι κλέος;* | 61 del. Steinhartus in progr. Portensi saec. a. 1843 p. 7 | *συγκέρδει* L | Athenaeus III p. 122 D *καὶ ἀλλαχοῦ δ' ὁ αὐτὸς* ⟨*Σοφοκλῆς*⟩ *ἔφη μηδὲν εἶναι ῥῆμα σὺν κέρδει κακόν* | 65 *ἄπω* L *ἄπο* Ld

62 *Ἤδη γὰρ εἶδον πολλάκις*] *Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς ἄρα τεθνηκὼς εἴη, καὶ μετὰ ταῦτα ἐπιφανὴς περὶ παλιγγενεσίας καὶ τῶν καθ' Ἅιδου τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν Ἅιδου συντετυχηκέναι ἔλεγεν· ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωικῶν Ἀἰθαλίδης ὢν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος* ⟨*Σάμιος add. Suidas*⟩, *εἶτα Πύθιος* ⟨*Πύρρος Bruncknius e Diogene Laertio VIII, 5*⟩ *ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας* ⟨*Suidas*⟩. *εἰς τοῦτο οὖν ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς. ἔνιοι δὲ οἴονται ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι· οὕπως* ⟨*οὕτως LF οὐ G*⟩ *γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ. ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα.* ⟨*Eustathius ad Hom. Od. Ω, 264 p. 1961 ἔστι γάρ τινα οὐ μόνον τροπικῶς κακῶν ὕπο κατὰ τὴν τραγῳδίαν θανεῖν, ἀλλὰ καὶ λόγοις μόνοις κατά τε φήμην ἁπλῶς καὶ μὴν κατ' ἐπιτήδευσιν, ὅτε τις προτίθεται λόγοις θανὼν ἔργοις σωθῆναι τραγικῳδικῶς εἰπεῖν κἀξενέγκασθαι κλέος· ὃ καὶ Ζάλευκος καὶ Πυθαγόρας ἐπραγματεύσαντο.*⟩ *καὶ μή τῳ* ⟨*Wolfius de schol. Laur. p. 16 μήπω H μὴ τῶν L*⟩ *θαυμαστὸν* ⟨*θαυμαστῶν L*⟩ *εἶναι δόξῃ, ἐν τραγῳδίᾳ καὶ μύθῳ παλαιῷ τετολμηκέναι* ⟨*τετολμηκότι LH*⟩ *τι κακόηθες εἰπεῖν καὶ προσκρουστικὸν εἰς τοὺς καθ' ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.* * *Suidas ἐπαυχῶ, βεβαίως οἶδα· Σοφοκλῆς 'ὡς — ἔτι'.* * | 66 * *Eustathius ad Hom. Il. X, 95 p. 1260 ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν συνήθως τὸ δέδορκεν ἀντὶ τοῦ βλέπειν λαμβάνεται, Σοφοκλῆς δὲ ἐν τῷ 'ἐχθροῖς δεδορκότα λάμψειν ὡς ἄστρον' ἐπὶ τοῦ ὁραθῆναι παθητικῶς τὴν λέξιν εἴθησιν ὡς τοῦ μέσου παρακειμένου ἐν πολλοῖς ἐπαμφοτερίζοντος.* ⟨*cf. ad Il. B, 135 p. 191*⟩ * | 68 *Δέξασθέ μ' εὐτυχοῦντα*] *ἐπ' εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι.* | *εὐτυχῶς ἐπιχειροῦντα ταῖς μηχαναῖς.* | 70 *Δίκῃ καθαρτής*] *τὰ εἰς ιης, ἔχοντα τὴν παρατέλευτον εἰς ἀμετάβολον λήγουσαν, ἀπρόσκλιτα ὄντα τοῦ σ κατὰ τὴν γενικὴν, βαρύνονται, εἰ μὴ εἴη μετοχικὰ, ὑφάντης ἀγύρτης Εὐφράτης· τὸ δὲ ἑκοντὶς καὶ ἐθελοντὶς, μετοχικά· παρὰ δὲ Ἀττικοῖς ὀξύνεται τό τε καθαρτὴς καὶ ἀμυντὴς ἐπὶ τοῦ βοηθοῦ, φαιδρυντὴς ποικιλτὴς ψαλτὴς πραϋντής.* ⟨*om. G ex Herodiani καθολικῇ προσωδίᾳ petitum esse monuit Dindorfius.*⟩

καὶ μὴ μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νῦν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρεός.
νῷν δ' ἔξιμεν· καιρὸς γάρ, ὅσπερ ἀνδράσιν
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

ΗΛΕΚΤΡΑ

ἰὼ μοί μοι.

ΠΑΙ. καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡ. ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ κἀνακούσωμεν γόων;

ΠΑΙ. ἥκιστα. μηδὲν πρόσθεν ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά· ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΗΛ. ὦ φάος ἁγνὸν
καὶ γῆς ἰσόμοιρ' ἀὴρ, ὥς μοι

86—102 = 103—120

73 *μὲν νῦν* L *νῦν* om. pg *μέντοι* Blomfieldius | *γέρων* lpς | 75 *ἀνδράσι* Lpς | 77 *ἰώ μοι μοί δύστηνος* Lω *ἰωμοιμοῖ* Ellendtius lex. Sophocl. I p. 858 *ὤ μοι μοι* Hermannus | *δύστηνος* del. Dindorfius | 80 *ἠλέκτρασ* L σ eras. Ld | 83 *τῶν* p | *ἀρχαγετεῖν* ut videtur L *ἀρχηγετεῖν* Ld | 84 *πατρὸς χέοντες* L *ευ* supr. Ld | 87 *ἰσόμοιρ'* Porsonus tracts p. 221: *ἰσόμοιρος* Lω *ἰσόμορος* Bergkius

72 *Ἀρχέπλουτον*] *ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον* ⟨*Suidas*⟩. | * *Suidas καταστάτης· Σοφοκλῆς 'ἀλλ' — δόμων'· ἀντὶ τοῦ εὐτρεπιστήν.* * | 75 *Νῷν δ' ἔξιμεν*] *ἐξιέναι βούλονται, διὰ τὴν εἴσοδον τοῦ χοροῦ.* | *Καιρὸς γὰρ ὅσπερ ἀνδράσιν*] *ἐφ' ἑκάστου πράγματος τὸ* [*καίριον καὶ*] *χρησιμώτατον ὁ καιρός ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο* ⟨*Suidas καιρός. ἐπιστάτης*⟩. | 78 *Καὶ μὴν θυρῶν ἔδοξα*] *θαυμαστῶς ὁ γέρων οὐκ ἐπιβέβηκεν τῷ ἀληθεῖ. τινὲς δὲ· ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην 'προσπόλων τινὸς' φησίν.* | *τὸ ἑξῆς· ἔνδον θυρῶν.* | 80 *Ἆρ' ἔστιν ἡ δυστήνος*] *ὑπὸ νεότητος Ὀρέστης παράγεται* ⟨*πρὸς τὸ add. G*⟩ *φιλοπευστεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.* | 81 *Ἀνακούσωμεν*] *ἐπακούσωμεν.* | 82 *Μηδὲν πρόσθεν*] *ἅμα μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ, ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν· διελύθη γὰρ ἂν τὸ πᾶν ἐξαρχῆς μηνυθέντος Ὀρέστου.* | 86 *Ὦ φάος ἁγνόν*] *ὀλόφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις, ὅπερ συνηθες τοῖς τραγικοῖς κινητικὸν τοῦ πένθους. τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι. ἐπεὶ δὲ ἀηθές ἐστι πρὸς τοὺς θεατὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς ἢ μάρτυρας τῶν θρήνων καλοῦσα πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ οὕτως ἡμῖν δηλωθήσεται, ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα.* | 87 *Ἰσό-*

πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ἦσθου
στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων ἤδη, στυγερὰν
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἔξένισεν,
μήτηρ δ' ἡμὴ χῶ κοινολεχὴς

92 γρ. στυγερά g : στυγεραί Lω | 93 οἰκιῶν Ll οἴκων Ωω | 96 ἐξένισεν Ls ἐξείνισεν Ωps ἐνάριξεν van Gent mnemos. VII p. 222

μοιρον δὲ φησὶν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παρατείνειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει· καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ τὴν ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ ⟨Η τῆς γῆς L⟩. συνέστραπται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθῇ, ἰσωθήσεται αὐτῷ. οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον ⟨theog. 126⟩ Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανόν'. | Ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησίν, ἵνα τὸ φάος ἀγνὸν ἀντιδιαστέλληται. καὶ γῆς φησὶν ἰσόμοιρος ἀήρ, ἴσην μοῖραν ἔχων ⟨ed. Rom. ἔχον codd.⟩ τῇ γῇ, πανταχοῦ γάρ ἐστιν ἀήρ· ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα, ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. τινὲς δέ, ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ διὰ τὰ ἀπὸ κέντρου διαστήματα· ἰσόμοιρος οὖν, διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς. καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν. | τὸ δὲ ἀὴρ τὸ α συνέστειλεν διὰ ῥυθμὸν ἢ μέτρον. | Ὡς μοι πολλὰς μὲν θρήνων] ὦ φάος ἀγνόν, ὅσα μοι σύνοιδας θρηνούσῃ καὶ κοπτομένῃ. τὸ δὲ κατάλληλον οὕτως· ὡς πολλὰς μὲν ᾠδὰς τῶν θρήνων ⟨om. L⟩ ἤσθου, πολλὰς δὲ πληγὰς αἱμασσομένων τῶν στέρνων. | 89 Πληγὰς ἀντήρεις τραγικώτερον δέ πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι· μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων· οἷον πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας. | Ἀντήρεις] ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσιν καὶ μὴ εἰς θάτερον περιωθῆται ⟨Suidas περιωθεῖται L⟩ ἡ ναῦς. | ἀντήρεις οὖν ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον. ⟨Suidas. Hesychius ἀντήρεις. cf. etym. magn. p. 112 ἀντήρεις· ἀντιθέτους, αντερέσσοντας, Διογενιανός.⟩ | Ἤισθου] ἀντὶ τοῦ ἔμαθες. | 90 Αἱμασσομένων] διὰ τούτων ἡ ἐπίτασις. | 91 Ὁπόταν δνοφερά] ὅσα μέν, φησὶ, διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς. | λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς οὔτε ἡμέρας κλαίουσα ⟨Suidas φάος⟩. | Ὑπολειφθῇ] παρέλθῃ. | 94 Ὅσα τὸν δύστηνον] κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως· ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου καὶ διὰ τί θρηνεῖ· πρὶν γὰρ ἠμφιβάλλετο εἴτε Ἠλέκτρα ἐστὶν εἴτε πρόσπολος ⟨πρὶν — πρόσπολος add. H⟩. | 95 Ὃν κατὰ μὲν βάρβαρον] παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ νεκυίᾳ ⟨Od. λ, 407⟩ λεχθὲν οὔτε μ' ἀνάρσιοι ἄνδρες· καὶ τὰ ἑξῆς. πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί· πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικούτου καὶ τοσαῦτα διαπραξαμένου τὸ εἰπεῖν ὅπως δρῦν ὑλοτόμοι. | Οὐκ ἐξένισεν δὲ ἀντὶ τοῦ οὐκ ἀπέκτεινεν· ξένια γὰρ Ἄρεως, τραύματα καὶ ⟨καί om. LGH⟩ φόνοι. καὶ Ἀρχίλοχος· | ξείνια δυσμενέσιν ⟨ξένια δυσμενέεσσι L⟩ λυγρὰ χαριζόμενοι'. ⟨Suidas ἐξένισεν. ξένια⟩ | πανὺ περιπαθῶς πικροτέραν γενέσθαι τῷ Ἀγαμέμνονι καὶ πολέμου καὶ ἀλλοδαπῆς τὴν Κλυταιμνήστραν.

Αἴγισθος ὅπως δρῦν ὑλοτόμοι
σχίζουσι κάρα φονίῳ πελέκει·
κοὐδεὶς τούτων οἰκτος φέρεται,
σοῦ, πάτερ, οὕτως
αἰκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ
λήξω θρήνων στυγερῶν τε γόων,
ἕως τ' ἂν λεύσσω παμφεγγεῖς
ἄστρων ῥιπάς, λεύσσω δ' ἦμαρ,
μὴ οὐ τεκνολέτειρ' ὡς τις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἄϊδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρά,
σεμναί τε θεῶν παῖδες Ἐρινύες,
† αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε,
τοὺς εὐνὰς ὑποκλεπτομένους †
ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς

98 ὑλοτόμον vel ὑλοτόμου L ὑλοτόμοι Ωω | 99 φοινίωι L | πέκει L πελέκει Ωω | 100 οἰκτος φέρεται Nauckius : οἰκτος ἀπ' ἄλλης ἢ 'μοῦ φέρεται Lω | 101 ἢ 'μοῦ φέρεται del. Hamacherus | 102 αἰκῶς Hermannus (ἀϊκῶς Brunckius): ἀεικῶς Σ ἀδίκως Lω | 105 λεύσσω del. Hermannus | 106 ἄστρων del. Dobreus advv. II p. 49 Monkius | δ' ἦμαρ Hermannus ad Eurip. Hec. p. 76 ed. I: δὲ τόδ' ἦμαρ Lω λεύσσω δ' αὖ φάος ἀελίου Steinhartus | 108 τήνδε Musgravius | κωκυτῶν L Suidae cod. A κωκυτῳ Ωω | 111 γρ. ποινία ἀρά Ω | Ἄτα Musgravius | 112 σεμναί τ' Ἐρινύες Suidas Σκότου παῖδες Froehlichius παῖδες del. Hermannus ad Eurip. Hec. p. 76 θεῶν ἀρχαιογόνων παῖδες Reisigius enarr. Soph. Oed. Col. 41 | 113 ὁρᾶτ' Porsonus tracts p. 221 | 114 del. Porsonus, 113 et 114 del. Dindorfius | 114 τοὺς δ' εὐνὰς ς del. Kolsterus philolog. V p. 214 καὶ τοὺς εὐνὰς Hermannus ad Eurip. Hec. p. 76 εἰς τοὺς εὐνὰς Elmsleius ἀπάτας εὐνὰς Reisigius αἳ τοὺς εὐνὰς Dobreus adv. II p. 49 ἐσορᾶτε δὲ τοὺς αἰκῶς εὐνὰς Martinus progr. Posn. 1858 p. 27 | αἳ τοὺς εὐνὰς ὑποκλεπτομένους καὶ τοῦς ἀδίκως θνήσκοντας ὁρᾶτ' Hamacherus | 115 τίσασθε om. Suidas

101 Ἦ 'μοῦ φέρεται] εἰ δὲ καὶ τὰ τῆς Χρυσοθέμιδος παράκειται, αὕτη γε διὰ τὸ πάνυ ἀλγεῖν οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται ἢ μόνην αὐτήν. | 102 Ἀδίκως οἰκτρῶς] ἐν τῷ ὑπομνήματι κεῖται ⟨ἔν τισιν ὑπόκειται L ἔν τι ὑπόκειται G⟩ ἀντὶ τοῦ ἀδίκως ἀεικῶς. | καὶ οἰκτρῶς μὲν διὰ τὸ βίᾳ καὶ ἐπιβουλευθέντα· ἀεικῶς δὲ ὅτι πελέκει αὐτὸν μεθ' ὕβρεως ἔτισατο ⟨Suidas ἀεικῶς⟩. | 103 Ἀλλ' οὐ μὲν δὴ λήξω] ὁ νοῦς· ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας οὔτε νυκτὸς, ὀδυρομένη ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν ⟨Suidas ῥιπάς⟩. | 108 Ἐπὶ κωκυτῷ] τὴν ἐπὶ κωκυτῷ ἠχὼ, τουτέστι θρηνητικήν. | 110 * Suidas Περσεφόνη κατάγειος δαίμων. Ἠλέκτρα φησίν· ὦ δῶμ' — ἡμέτερου'. * | 112 Σεμναί τε θεῶν] εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες.

φόνον ἡμετέρου, καί μοι τὸν ἐμὸν
πέμψατ' ἀδελφόν. μούνη γὰρ ἄγειν
οὐκ ἔτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.

ΧΟΡΟΣ.

ὦ παῖ, παῖ δυστανοτάτας
Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ
τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν
τὸν πάλαι ἐκ δολερᾶς ἀθεώτατα
ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα
κακᾷ τε χειρὶ πρόδοτον; ὡς ὅ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

ΗΛ. ὦ γενέθλα γεγναίων
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τί με
φυγγάνει, οὐ δ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στενάχειν πατέρ' ἄθλιον.

121—136 = 137—152

120 *ἀντίρροθον* Apollonius | 121 *ὦ* Turnebus: *ἰὼ* Lω | 123 *κλαίεις* Froehlichius *λάσκεις* Schwerdtius | *ἀκόρετον* pς | 124 *ἀθεώτατα* Erfurdtius Porsonus tracts p. 221: *ἀθεοτάτας* LΣω | 126 *ὥς* Lp | 129 *γένεθλα* Lς *γενέθλα* Ilpς | *γενναίων πατέρων* Lpς *γενναίων τοκέων* ς *πατέρων* del. Hermannus elem. doctr. metr. p. 435 Monkius | 132 *οὐ δ' ἐθέλω* Buttmannus: *οὐδ' αὖ θέλω* Lς *οὐδὲ θέλω* I *οὐ θέλω* p *οὔ δ' ἐθέλω* Hermannus | 133 *στενάχειν* Elmsleius ad Soph. Oed. T. 181: *στοναχεῖν* Lpς *στεναχεῖν* Iς

119 *Μούνη γὰρ ἄγειν*] ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι, ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ οὕτως τὸ ἀντίρροπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρὼν, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν· μόνη γὰρ φέρειν οὐκέτι ἰσχύω. | *Σωκῶ*] ἀντὶ τοῦ ἰσχύω· οἱ δὲ νεώτεροι, ἀντὶ τοῦ σώζω. ⟨Suidas σωκῶ. cf. Apollonius lex. Hom. σῶκος· — καὶ Σοφοκλῆς εἰσάγει τὴν Ἠλέκτραν λέγουσαν 'μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ λύπης ἀντίρροθον ἄχθος' ἀντὶ τοῦ οὐκέτι ἰσχύω.⟩ | 121 *Πάροδός* ἐστι χοροῦ γυναικῶν τῇ Ἠλέκτρᾳ συναχθομένων. | *Δυστανοτάτας* δὲ τῆς ἐξωλεστάτης· οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος ⟨Suidas δύστηνος⟩. | 122 *Τίν' ἀεὶ τάκεις*] ἀντὶ τοῦ, διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ. | 124 *Ἀθεωτάτας*] ἀσεβοῦς. | 125 *Ματρὸς ἁλόντ' ἀπάταις*] μητρὸς ἁλόντα πληγαῖς. | 126 *Ὡς ὁ τάδε πορών*] λίαν αἰδήμων ὁ χορός, ὃς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν· καὶ γυναικῶν ἐστιν ἴδιον τὸ μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασιν καταλέγειν ἄλλης γυναικός. καὶ τὸ *εἴ μοι θέμις τάδ' αὐδᾶν*' λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν. ἐπεὶ κατ' ἀρχόντων ⟨ἦν add. L⟩ ὁ λόγος ἢ ἐπεὶ δοκεῖ δυσφημεῖν, φησίν· εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι. | 129 *Ὦ γένεθλα*] ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων. | 130 *Ἥκετ' ἐμῶν καμάτων*] οἶδα, φησίν, ἃ πράττω, καὶ οὐ λανθάνει με ὅτι ὑπὲρ τὸ δέον ποιῶ. ἢ οἶδα ὅτι μοι εὐνοεῖτε ἵνα συνάπτῃ τῷ προκειμένῳ 'ἥκετ' ἐμῶν καμάτων παραμύθιον'. ἄμεινον δὲ τὸ πρῶτον.

ἀλλ' ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,
ἐᾶτέ μ' ὧδ' ἀλύειν,
αἰαῖ, ἰκνοῦμαι.

ΧΟ. ἀλλ' οὗτοι τόν γ' ἐξ Ἄϊδα
παγκοίνου λίμνας πατέρ' ἀν-
στάσεις οὔτε γόοισιν οὔτ' ἄνταις.
ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον
ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.
τί μοι τῶν δυσφόρων ἐφίει;

ΗΛ. νήπιος ὃς τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἃ στονόεσσ' ἄρᾰρεν φρένας,
ἃ Ἴτυν, αἰὲν Ἴτυν ὀλοφύρεται,
ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.

136 *αἰ αἰ* L *αἰ αἰ* I | 137 *τόνδ'* pς | 138 *πατέρ* I *πα* in litura | 139 *γόοισιν* Triclinius: *γόοις* Lω | *οὔτ' ἄνταις* Hermannus ⟨Hesychius *ἀντήσει* ⟨*ἄντησι*⟩· *λιτανείαις*, *ἀντήσεσιν*⟩: *οὔτε λιταῖσιν* Lς *οὔτε λιταῖς* pς *οὔτ' εὐχαῖς* Erfurdtius *οὔτε λιταῖσιν, οὐ θρήνοις* Reisigius comm. cr. Soph. Oed. C. 1564 *πατέρα γόοις οὔτε λιταῖσιν ἀνστάσεις* Bergkius | 142 *ἐν οἷσιν ἔστ' ἀνάλυσις οὐδεμία κακῶν* Nauckius | 144 *ἐφίῃ* L | 147 *ἄραρε* ς | *Ἴτυν γ' ὀλοφύρεται* Triclinius

134 *τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.* | 135 *Ἀλύειν*] *τὸ ἐν ἄλῃ* ⟨*Suidas ἄλλῳ L ἄλῃ* corr. *ἄλλῃ H*⟩ *δυσφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἁλέας καὶ διαχύσεως. Ὅμηρος* ⟨*Od. σ, 332*⟩ *'ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην'.* ⟨*Suidas ἀλύειν qui addit ὅθεν καὶ δασύνεται, Σοφοκλῆς 'ἐᾶτέ μ' ὧδ' ἀλύειν'. ἐπὶ δὲ τοῦ δυσφορεῖν καὶ ψιλοῦται. Ἀίδυμος δὲ ἀμφότερα ψιλῶς· τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεσθαί φησιν, τὸ δὲ ἀπὸ τῆς ἄλης. ἀττικώτερον δὲ τὰ ἀμφότερα δασύνειν· καὶ γὰρ τὸ ἀλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα. cf. Bekkeri anecd. p. 380. Eustathius ad Hom. Od. ι, 398 p. 1636.*⟩ | 137 *Ἀλλ' οὗτοι τόν γ' ἐξ Ἄϊδα*] *καὶ τοῦτο παρὰ τὸ ὁμηρικὸν* ⟨*Dindorfius: τῷ ὁμηρικῷ Il. Ω, 524*⟩ *'οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο'.* | 138 *Παγκοίνου*] *εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ* ⟨*Suidas πάγκοινος*⟩. | 139 *Οὔτε γόοις οὔτε λιταῖσιν*] *οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα ἀναστήσεις τὸν Ἀγαμέμνονα. καὶ λιτανεύουσα τοὺς ἐν ᾅδῃ θεούς· καὶ Αἰσχύλος 'μόνος θεῶν γάρ* ⟨*γὰρ θεῶν LGH*⟩ *Θάνατος οὐ δώρων ἐρᾷ' * μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος* ⟨*χαλεπὸν πρὸς ἣν — vel ἓν vel ὃν — οὐκ ἔνι τι μηχανήσασθαι add. G*⟩. | 144 *Ἐφίῃ*] *ἐπιθυμεῖς.* | *τί μοι, φησί, τούτων γλίχῃ, ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνου καὶ πένθους;* ⟨*Suidas ἐφίῃ*⟩. | 145 * *Suidas οἰκτρῶς· ἐλεεινῶς. 'νήπιος — ἐπιλάθεται'.* * | 147 *Ἀλλ' ἐμέ γ' ἃ στονόεσσα*] *ἀττικῶς τὸ ἄραρέ με ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσίν.* | *ἀντὶ τοῦ, σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ ᾠδὴ ἕνεκα τοῦ θρηνεῖν.* | *οἷον, συνήρμοσταί μου ταῖς φρεσὶ* ⟨*Suidas ἄραρέ με*⟩. *τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν* ⟨*Suidas ἀτυζομένη*⟩. | *καὶ Ἀριστοφάνης* ⟨*ran. 103*⟩ *'σὲ δὲ ταῦτ' ἀρέσκει;'* | 149 *Ἀτυζομένα*] *ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη* ⟨*Suidas ἀτυζομένη*⟩. | *τὸ δὲ Διὸς ἄγγελος,*

ἰὼ παντλάμων Νιόβα, σὲ δ' ἔγωγε νέμω θεόν,
ἄτ' ἐν τάφῳ πετραίῳ,
αἰεί δακρύεις.
ΧΟ. οὗτοι σοὶ μούνᾳ, τέκνον,
ἄχος ἐφάνη βροτῶν,
πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσά,
οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος,
οἵα Χρυσόθεμις ζώει καὶ Ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ

153—172 = 173—192

150 *παντλᾶμον* ς | 152 *αἰεί* ς: *αἰέν* ς *αἰαῖ* L *αἰαῖ* Lω | 154 *ἄχθος* Lachmannus de chor. syst. p. 159 | 157 *οἵα* Erfurdtius: *οἷα* Lς | 158 *ἀκέων* Bergkius

*ὅτι τὸ ἔαρ σημαίνει. Ὅμηρος (Od. τ, 518) 'ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρῆΐς ἀηδών, καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο'. | ἢ ὅτι τὴν ἡμέραν σημαίνει· ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ καὶ τὴν περιθρυλουμένην ἀγγελίαν καὶ τὸ πάθος· ἢ ἄγγελον εἶπεν οἷον τέρας, κατὰ (καί L) τὸ παρ' αὐτοῦ γινόμενον εἰς τερατεῖαν τῆς φύσεως· καὶ Σαπφώ 'ἦρος ἄγγελος, ἰμερόφωνος (ἡμερόφωνος GH) ἀηδών'. * ἱστορία, ὁ Τηρεὺς Θρᾴξ ὑπῆρχε καὶ ἔσχε μίαν τῶν θυγατέρων τοῦ Πανδίονος τὴν Πρόκνην καὶ ταύτην εἰς Θράκην κατήγαγεν. ἐπεθύμησε δὲ μετὰ καιρὸν ἡ Πρόκνη ἰδεῖν τὴν ἀδελφὴν αὐτῆς Φιλομήλαν καὶ τῷ Τηρεῖ εἶπε ταύτην ἀγαγεῖν. οὗτος οὖν ὁ Τηρεὺς φέρων τὴν Φιλομήλαν ἠράσθη αὐτῆς καὶ βιασάμενος ἐμοίχευσεν αὐτήν. φοβηθεὶς οὖν μήπως εἴπῃ ταῦτα τῇ ἀδελφῇ αὐτῆς τὴν γλῶτταν ταύτης ἀπέκοψεν, ἡ δὲ εἰς τὴν ἀδελφὴν ἐλθοῦσα ἱστὸν ἔστησε καὶ ἐκεῖ διέγραψε τὸν Τηρέα καὶ ὃ αὐτῇ ἐποίησε. γνοῦσα δὲ ἡ ἀδελφὴ ἔψησε τὸν υἱὸν αὐτοῦ τὸν Ἴτυν καὶ ἔθρεψεν αὐτόν. καὶ τοῦτο αὐτὸς γνοὺς ἔμελλεν ἀναιρεῖν αὐτάς. αὐταὶ δὲ μεταβληθεῖσαι εἰς ὄρνεα ἡ μὲν εἰς ἀηδόνα ἡ δὲ εἰς χελιδόνα, καὶ μέχρι τοῦ νῦν καταδιώκει αὐτὰς ὁ Τηρεύς. τοῦ ἔαρος δὲ ἔστιν ἡ χελιδὼν ἄγγελος καὶ ἔστι κεκομμένη τὴν γλῶτταν καὶ ψελλίζει * cod. Flor. 2788. |*
150 *Σὲ δὲ ἔγωγε νέμω θεόν*] *ἀντὶ τοῦ ἐν τιμῇ τῶν θεῶν μερίζω σέ.* |
151 *Ἐν τάφῳ πετραίῳ*] *τουτέστι καὶ ἀπολιθωθεῖσα. Ὅμηρος (Il. Ω, 615) 'ἐν Σιπύλῳ, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς'.* | * *ἱστορία. ἡ Νιόβη ἦν θυγάτηρ Ταντάλου καὶ ἔσχεν ἐξ υἱοὺς καὶ ἐξ θυγατέρας. καί ποτε ἐκαυχήσατο καὶ εἶπεν ὅτι εὐτεκνότερα εἰμὶ τῆς Λητοῦς· ἡ γὰρ Λητὼ εἶχε μίαν θυγατέρα τὴν Ἀρτέμιν καὶ ἕνα υἱὸν τὸν Ἀπόλλωνα. μανεῖσα δὲ ἡ θεὸς εἶρηκε τῷ Ἀπόλλωνι καὶ ἀνῄρηκε τοὺς ἄρρενας, ἡ δὲ Ἄρτεμις τὰς θηλείας. καὶ ἡ Νιόβη τοῦτο παθοῦσα ἀπὸ τῆς λύπης ἀπελιθώθη καὶ ἀπολιθωθεῖσα ἔτι κλαίει. λέγεται δὲ ὅτι περὶ τὸ Σίπυλον ὄρος ἦν ἀγαλματουργός· οὗτος λαβὼν λίθον ἐποίησεν ἄγαλμα τῆς Νιόβης καὶ πηγὴν εὑρὼν ἔθηκε τοῦτο περὶ τὴν πηγήν, μικρὰν δὲ ῥανίδα ἀπὸ τῶν ὀπισθίων τῆς κεφαλῆς μερῶν τρυπήσας καιήνεγκε διὰ τῶν ὀφθαλμῶν. * cod. Flor. 2788. |*
155 *Περισσά*] *ἀντὶ τοῦ ἄμετρος ἐν τῷ θρηνεῖν.* | *περισσῶς, φησίν, ὀδύρῃ παρὰ τούτους, οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις· ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς, ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσὶ δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι. πρὸς τὸ ἄχος περισσή.* | 157 *ἢ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι (Il. I, 144) τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ Κύπρια διαφόρους (Elmsleius Δφη L διὰ G) φησὶν Ἰφιγένειαν καὶ Ἰφιάνασσαν. (cf. schol. cod. Guelf. Eurip. Or. 23 οὗτος ὁ ποιητὴς γ' λέγει θυγατέρας γεννηθῆναι Ἀγαμέμνονι· ὁ δὲ Σοφοκλῆς ἐν τῷ β' δράματι τέσσαρας μετὰ τῆς Ἰφιανασσης.)* | 159 *Κρυπτᾷ τε ἀχέων*] *ἢ (om. G. Suidas) ἀχέων μετοχή*

ὄλβιος, ὃν ἃ κλεινὰ
γᾶ ποτὲ Μυκηναίων
δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
νεύματι μολόντα τάνδε γᾶν Ὀρέσταν.
ΗΛ. ὃν γ' ἐγὼ ἀκάματα προσμένουσ', ἄτεκνος,
τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν· ὃ δὲ λάθεται
ὧν τ' ἔπαθ' ὧν τ' ἔδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
ἀεὶ μὲν γὰρ ποθεῖ,
ποθῶν δ' οὐκ ἄξιοῖ φανῆναι.
ΧΟ. θάρσει μοι, θάρσει, τέκνον.
ἔτι μέγας οὐραγῷ
Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα
μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο μήτ' ἐπιλάθου·
χρόνος γὰρ εὐμαρὴς θεός.

160 praefixam personae notam *Hλ* del. Reiskius Tyrwhittus | *ὄλβιον* Brunckius: *ὄλβιος* Lω *ἄθλιος* Martinus | *κλεινά* L *α* in litura duarum triumve litterarum | 161 *αγαῖ* eraso *α* Lω | 163 *νεύματι* Burgesius ad Aesch. suppl. p. 70 Froelichius Nauckius: *βήματι* Lω | *τηλέδανον* vel *τηλέγονον Ὀρέσταν* Burgesius | 164 *ΗΛ.* add. Tyrwhittus: om. Lω | *ὃν γ' ἐγώ* Hermannus: *ὃν ἔγωγ'* Lω | 166 *δάκρυσι μυδαλέον* schol. Soph. Ant. 410 | 167 *ὁ δὲ λάθεται* pς: *ὧδ' ἐλάθεται* L *ἐλάθετο* Lω *ὅδ' ἐλάθετο* ς | 169 *ἔπαθ'* Lpς: *ἔπαθεν* Lς | 171 *ἀεί* Brunckius: *αἰεί* Lω | 174 *ἔτι* L *ἔστι* Lω schol. 823 | *οὐρανῷ* Heathius: *ἐν οὐρανῷ* Lω schol. 823 | *μέγας ἔτ' ἐν οὐρανῷ* Hermannus

*ἐστιν ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι· ἢ (ὅ ἐστιν ὁ G ἀντὶ τοῦ Suidas) ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος (Suidas ἀχέων). | * Eustathius ad Hom. Il. Λ, 22 p. 440 καινὸν οὖν γένος οὐ μόνον ἡ ὑλήεις Ζάκυνθος καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ τὸ ἀκέων Ἀθηνᾶ. τοιοῦτον κατά τινας καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ 'κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ' ἤγουν ἐν ἀφανεῖ ἀχέουσα ἥβῃ, ἡ Ἠλέκτρα δηλαδή. * |* 163 *Βήματι*] *ἀντὶ τοῦ ὁδῷ, πομπῇ.* | 164 *Ἀκάματα*] *ἀκαμάτως καὶ ἀδιαλείπτως. λέγοι δ' ἂν ταῦτα ἐν ὑποκρίσει. ἢ οὐ κεκμηκότως.* | 166 *Οἰχνῶ*] *περιέρχομαι (Suidas).* | 167 *Δάκρυσι μυδαλέα*] *διάβροχος τοῖς δάκρυσιν (Suidas).* | *Ἀνήνυτον*] *ἀτελείωτον (Suidas).* | 169 *Ὧν τ' ἔπαθεν ὧν τ' ἔδάη*] *ὧν ἔπαθεν παρ' ἐμοῦ εὐεργεσιῶν· διέσωσε γὰρ αὐτόν· ὧν δὲ ἐδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον.* | 176 *Ὠι τὸν ὑπεραλγῆ χόλον*] *ᾧ τινι, τῷ Διί, τὸν ὑπεραλγοῦντα χόλον τοῖς πεπραγμένοις νέμουσα (μένουσα LH), μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς, μήτε ἐπιλάθου αὐτῶν· ἀλλὰ μέμνησο μὲν αὐτῶν, γενναίως δὲ φέρε. ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε μήτε ἐπιλανθάνου τῆς ἔχθρας.* | *Ὑπεραλγῆ*] *αγαν ὀδυνηρὸν, λυπηρόν (Suidas).* | 179 *Χρόνος γὰρ εὐμαρής*] *ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται· αἰνίττεται δὲ ὅτι (sic scripsi ἐνίοτε δὲ οὐ L οὐ om. H) μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης (αἰνίττεται — Ὀρέστης om. Suidas)· ἢ εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς*

οὔτε γὰρ ὁ τὰν Κρίσᾳ
βούνομον ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος
οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
ΗΛ. ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·
ἄτις ἄνευ τοκέων κατατάκομαι,
ἃς φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ' ἄπερεί τις ἔποικος, ἀναξία
οἰκονομῶ θαλάμους πατρὸς ὧδε μὲν

180 *Κρίσᾳ* Musgravius: *κρίσαν* Lpς *κρίσσαν* ς | 181 *βούνομον* Lς: *βουνόμον* Ltς | 182 *ἀγαμεμνονίδας* ω: *ἀγαμεμνίδας* L | *παὶδ' Ἀγαμεμνονίδαν ἀνεπίστροφος* Burgesius ad Aesch. suppl. p. 194 | 186 *ἀνέλπιστον* Σ Nauckius: *ἀνέλπιστος* Lω | 187 *κατατήκομαι* ς | 189 *ἅπερ εἴ τις* ς: *ὥσπερ εἴ τις* ς *ἅπερ ἥτις* Suidas | 190 *οἰκονομῶ* post ω littera *ι* vel *ν* erasa L

ἀδίκους ⟨*Suidas*⟩. | * *Eustathius ad Hom. Il. Ω, 139 p. 1342 ὡς ὁ διὰ μέσου καιρὸς μαλάττει τὴν ἐν τοῖς θυμουμένοις σκληρότητα ὥστε ἀληθεύειν τὸν εἰπόντα ὅτι χρόνος εὐμαρὴς θέος.* * | 180 *Κρίσαν*] *Φωκικήν. Κρίσα γὰρ πόλις Φωκίδος.* | 181 *Βούνομον*] *βοῶν θρεπτικήν* ⟨*Suidas*⟩. | 182 *Ἀπερίτροπος*] *ἀνεπίστροφος, ἀνεπέλευστος· ἔνθεν καὶ τὸ* ⟨*Homer. Il. B, 295*⟩ *'περιτροπέων ἐνιαυτός'. | ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος· (οὔτε Ὀρέστης add.) ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός· ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται, καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου ἀνεπέλευστος, ἐπὶ δὲ τοῦ Πλούτωνος ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν. πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον διαφόρως νοεῖται· καὶ Ὅμηρος* ⟨*Il. Δ, 328*⟩ *'ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω'. τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν· ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου ἀντὶ τοῦ ἔλαβον, ἐπὶ δὲ τῶν ἀνδρῶν ἀντὶ τοῦ ἐφόνευσαν.* | 183 *Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα*] *οὔτε ὁ Ἅιδης ἀνεπίστροφος (ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροπος) τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖται* ⟨*cf. Suidas ἀπερίτροπος· ἀνεπίστροφος. 'οὔτε — ἀνάσσων'. ἀπὸ κοινοῦ τὸ* (*add. ἀπερίτροπος*)*· ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν, ἀλλ' ἔχει ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖται. ἢ ἀνεπέλευστος, ὅθεν καὶ τὸ* ⟨*Hom. Il. B, 295*⟩ *'περιτροπέων ἐνιαυτός'.*) | 184 *Ἀλλ' ἐμὲ μὲν ὁ πολύς*] *οἷον τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς. καὶ ὁ πλείων με, φησί, βίος ἀπολέλοιπεν, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην, ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται* ⟨*Suidas οἰκονομῶ*⟩. | 186 * *Suidas ἀρκῶ· ἰσχύω, ὑπομεῖναι δύναμαι· 'ὁ πολύς — ἀρκῶ'.* * | 188 *Ἃς φίλος οὔτις ἀνήρ*] *ἤτοι ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι κατ'* ⟨*Suidas ἢ L*⟩ *ἐκεῖνο 'ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι'.* ⟨*Suidas οἰκονομῶ. cf. schol. Aristid. III p. 681 ὥσπερ καὶ τὸ 'ἀνδρὸς — φίλοι' Σοφοκλέους ὂν παροιμιῶδες γέγονε καὶ ἕτερα μύρια.*⟩ | 189 *Ἔποικος*] *ἀντὶ τοῦ μέτοικος. | ἀναξία δὲ, ἀξίαν οὐκ ἔχουσα ἀλλ' ἄτιμος. | οἰκονομῶ δὲ ἀντὶ τοῦ διαιτῶμαι* ⟨*κατὰ add. Dindorfius*⟩ *τοὺς πατρῴους οἴκους* ⟨*Suidas ἀναξία*⟩. * *Suidas οἰκονομῶν· οἷά τις ἔποικος ἀναξίως οἰκονομῶ δόμους πατρός.* * | 190 *Ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ*] *δεικτικῶς τὸ ὧδε. ἐλεεινὸν δὲ τὸ τοιοῦτον καὶ λελῃθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν.*

ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' ἀμφίσταμαι τραπέζαις.
ΧΟ. οἰκτρὰ μὲν νόστοις αὐδά,
οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις
ὅτε παγχάλκων ἀνταία
γενύων ὥρμᾶθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν, εἴτ' οὖν θεὸς εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.
ΗΛ. ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νύξ, ὦ δείπνων ἀρρήτων
ἔκπαγλ' ἄχθη·
τοὺς ἐμοὺς ἴδε πατὴρ
θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον πρόδοτον, αἳ μ' ἀπώλεσαν·

193—212 = 213—232

191 *συστολαῖ* L *συνστολαῖ* lt | 192 *κενά* Hartungus | *ἀμφίσταμαι* l Eustathius ad Hom. Od. φ, 418 p. 1692 *ὡς τὸ 'κεναῖς δ' ἀμφίσταμαι τραπέζας'*: *ἀφίσταμαι* L *ἐφίσταμαι* ltς *κοινᾶς δ' ἀφίσταμαι τραπέζας* Schneidewinus | 196 *ὅτε σοι* LΣω *ὅτε οἱ* Hermannus *σοι* del. Heathius | 198 *ἔρως* Lς *ἔρος* ltpς | *ἔρος ἦν ὁ φράσας, δόλος ὁ κτείνας* Bergkius Nauckius | *προφητεύσαντες* L *προφυτεύσαντες* ltω | 199 *μομφάν* Hamacherus | 201 *ἀμερᾶν* L *ἁμέρα* ltpω | 204 *γρ. ἔκπαγλα πάθη* lt | 205 *ἴδε* Brunckius: *εἶδε* Lω | 206 *αἰκεῖς* Hermannus: *ἀϊκεῖς* L *ἀεικεῖς* pω | *χειροῖν* Brunckius: *χεροῖν* Lω | 207 *αἳ μ'* lt (in litura pro *ἐμέ* ut videtur) ω

193 *Οἰκτρὰ μὲν νόστοις αὐδά*] *ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. | ἀπὸ κοινοῦ δὲ τὸ αὐδά. οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός, οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ. | οἷον οἰκτρὰ πέπονθας, [καὶ] ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δὲ, ὅτε* ⟨*Brunckius ὅτι codd.*⟩ *καὶ ἡ πρᾶξις γέγονε καὶ ἀνῃρέθη.* | 195 *Ἀνταία γενύων*] *ὅτε ἀνταίαν ἐπλήγης ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων· γένυς γὰρ εἶδος πελέκεος* ⟨*Suidas γένυς*⟩. | 197 *Δόλος ἦν ὁ φράσας*] *ἀντὶ τοῦ, ὁ φρασάμενος, ὁ ἐπινοησάμενος· ὁ δὲ ἀνελὼν ἔρως· δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. | δόλος ὁ φρασάμενος τὴν ἑστίασιν, ἐν ᾗ ἀνῃρέθη* ⟨*Suidas φράσας, qui add. ἔρως ὁ κτείνας ὁ Αἴγισθος δι' ἔρωτος*⟩. | 198 *Προφυτεύσαντες*] *προσκεψάμενοι* ⟨*προκατασκευάσαντες* lt⟩. | 199 *Μορφάν*] *μορφὴν, τύπον. τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου ἢ τὴν ὄψιν ἣν εἰργάσατο τοῦ φόνου. | Εἴτ' οὖν θεός*] *πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει, τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει.* | 201 *Ὦ ἡμέρα ἐκείνη ἡ ἐλθοῦσά μοι ἐχθίστη, ἢ μάλιστα μεμισημένη πασῶν ἡμερῶν. τὸ δὲ πλέον περισσόν.* | 203 *Ὦ δείπνων ἀρρήτων*] *τῶν ὑπὸ Αἰγίσθου, φησί, τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάσαι καλόν.* | 204 *Ἔκπαγλ' ἄχθη*] *μεγάλα.* | 206 *Διδύμαιν χεροῖν*] *τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου.* | 207 *Αἳ*

οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι·
μηδέ ποτ' ἀγλαΐας ἀπονα[ί]ατο
τοιάδ' ἀνύσαντες ἔργα.
ΧΟ. φράζου μὴ πόρσω φωνεῖν.
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
ἀγαθῶν οἴας εἰς ἄτας
ἐμπίπτεις οὕτως αἰκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' ἀεὶ
ψυχᾷ πολέμους· τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.
ΗΛ. δεινοῖς ἠναγκάσθην, δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,

211 ὀναίατο Suidas | 214 ἀγαθῶν Σ Nauckius: τὰ παρόντ' Lω | οἵας Reiskius: οἰκείας LΣω τὰ παρόντ'; οἰκείας δ' εἰς Bergkius τὰ παρόντ', οὐδ' οἵας εἰς ἄτας Piccolos suppl. à l'anth. gr. p. 330 πατρῴων οἰκείας Kochius philol. VI p. 362 | 216 αἰκῶς Hermannus: ἀεικῶς Lω Suidas ἀεικές | 219 τάδε Hermannus μάθε Hamacherus | 221 δεινοῖς — δεινοῖς Brunckius: ἐν δεινοῖς — ἐν δεινοῖς Lω ἐν δεινοῖς ἐζεύχθην, δεινοῖς Bergkius ἠναγκάσθην ἐν ὑπερδείνοις Wolffius de schol. Laur. p. 34 | 222 ὀργαῖ L ὀργά Ltω

τὸν ἐμ[ὸ]ν εἶλον βίον] πάνυ περιπαθῶς. αἵτινες χεῖρες, αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον καὶ προέδωκαν τοῖς ἐχθροῖς. | 210 Ποίνιμα] ποινὴ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων· Ὅμηρος ⟨Il. I, 629⟩ 'ποινὴν ου παιδὸς ἐδέξατο τεθνειῶτος καὶ 'ρ' ⟨καὶ ἀλλ' L⟩ ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας, τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ ποινὴν δεξαμένῳ'. ⟨Suidas ποινή qui add. λέγεται δὲ καὶ ἡ ἀντέκτισις καὶ τιμωρία· 'οἷς — πόροι'.⟩ | ἄξια ποινῆς. | 211 Ἀγλαΐας] ἡδονῆς, δόξης. | * Suidas ὀναίατο· ἀπολαύσειαν. Σοφοκλῆς 'μηδέποτ' ἀγλαΐας ὀναίατ' τουτέστιν ἡδονῆς, δόξης 'τοιάδ' ἀνύσαντες ἔργα' ἤτοι τὸν ἐμὸν πατέρα ἀνελόντες. * | 213 Φράζου μὴ πόρσω φωνεῖν] ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. | οἰκείας δὲ ἤτοι τὰς συγγενικὰς ἢ ἀπὸ σοῦ ἐσομένας καὶ οὐκ ἀλλαχόθεν. | 214 οὐ γινώσκεις, φησίν, ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας; ⟨οὐ νοεῖς; add. L⟩. | 216 Ἐμπίπτεις] τοιαῦτα ἐννοοῦσα, ἐξ ὧν πολεμεῖται σοῦ ἡ ψυχή. | σαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή. | ὡς ἐν ἀθυμίαις αὐτῆς οὔσης ταῦτα φησίν. | 219 Τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριστά] τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν· ἀντὶ τοῦ, οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. | καὶ ἄλλως. ταῦτα δὲ ἃ πράττεις οὐκ ἐριστὰ τοῖς κρατοῦσίν ἐστι· τουτέστι, τοῖς περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον. | 220 Πλάθειν] πελάζειν. | 222 τοῦτο τὸ ἔπος, φησίν, οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον· διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι.

ὄφρα με βίος ἔχῃ.
τίνι γὰρ ποτ' ἂν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ' ἔπος, τίνι φρονοῦντι καίρια;
ἄνετέ μ' ἄνετε, παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται·
οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.
ΧΟ. ἀλλ' οὖν εὐνοίᾳ γ' οὐδῶ,
μάτηρ ὥσει τις πιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ΗΛ. καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλύν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις
μήτ', εἴ τῳ πρόσκειμαι χρηστῷ,

226 ἂν ω: om. L | γένεθλα L γενέθλα Ltω | 230 κεκλαύσεται Froehlichius | 232 ἀνάνομος ⟨ἀείνομος corr. Schneiderus lex. gr. ἀνάριθμος⟩ Σ Bentleius class. journ. XXVI p. 246 ἀέναος Hartungus | 233 εὐνοίᾳ L εὐνοίαι Lt | 235 σ' om. Suidas ἄτη | 236 κακότατος Σς | 238 ἔβλαστ' pς: ἔβλαστεν Llς

226 Τίνι γάρ ποτ' ὦ φιλία] παρὰ τίνος γὰρ ἂν ἀκούσομαι τὰ συμφέροντα ἢ παρ' ὑμῶν τῶν συνοίκων, ὥστε μοι συγχωρῆσαι ἐν δεινοῖς οὖσῃ παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων· οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας. | Τίνι] ἀντὶ τοῦ παρὰ τίνος. | ⟨Ὦ φιλία γενέθλα] προσφιλὴς ἐμοὶ γενεά. | 228 Τίνι φρονοῦντι καίρια] παρὰ τίνος φρονοῦντος καίρια ἢ συμφέροντα. add. L⟩ | 229 Ἄνετε] ἐάσατε· οἷον παύσασθέ με παραμυθούμεναι [ἢ οὕτως· ὑμεῖς με παραμυθούμεναι ἄνετε]· ὁ ἔστιν ἐπιτρέπετε ὀδύρεσθαι καὶ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. | 230 Τάδε γὰρ ἄλυτα κεκλήσεται] τὸ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἐστίν· ὃ ἔστιν, οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. | 232 Ἀνάριθμος ὧδε θρήνων] ἐν τῷ ὑπομνήματι ⟨Elmsleius ἐν ὑπονοίᾳ Suidas ἐν τισι L ἐν τῷ G⟩ κεῖται ἀνάνομος, οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος ⟨τουτέστιν Suidas⟩, οὐκ ἔσομαι ἀνάριθμος θρήνων, ἀλλ' ⟨οὐκ ἀλλ' om. G Suidas⟩ ἐν θρήνοις ἀριθμηθήσομαι ⟨ἀεὶ θρηνοῦσα add. Suidas⟩. | οἷον, οὐκ ἀριθμοῦσα αὐτοὺς ἀλλὰ δαψιλέσι ⟨δαψιλῶς G Suidas⟩ χρωμένη ⟨Suidas ἄνετε⟩. | 236 ⟨καὶ τί μέτρον ἔχει τόδε τὸ κακὸν, ὥστε μετρίως θρηνεῖν; add. L⟩ | πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων. | Κακότατος] τῆς συνεχούσης με. | 239 μὴ εἴη μοι ταύτης τιμῆς, τὸ τοὺς γονέας μὴ μέχρι παντὸς ὀδύρεσθαι. | ⟨μητ' εἴην ἔντιμος τούτοις] τουτέστι, μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων. μηδὲ εἰ συνοικῶ χρηστῷ τινι ἀνδρὶ, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους. πτέρυγας δὲ τοὺς γόους ⟨τούτους codd.⟩ ὀξυτόνους εἴρηκε διὰ τὸ ταχύ· ἅμα μὲν τῇ μνήμῃ καὶ ὁ ὀδυρμὸς οὐδενὸς τοῦ μεταξὺ ὄντος· ὀξυτόνους δὲ διὰ τὸ σφοδρὸν καὶ μέγα καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν εἰς ἄκρον ἐλθεῖν. | 240 Τούτοις] τοῖς ἀμελοῦσι τῶν γονέων. add. L⟩ | Μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ] μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ, συνοικοίην

ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὢν
κείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς
ἁπάντων τ' εὐσέβεια θνατῶν.

ΧΟ. ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα
καὶ τοὐμὸν αὐτῆς ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ' ἅμα.

ΗΛ. αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷ' ὁρῶσα πήματ' οὐ δρᾴη τάδ' ἄν,
ἀγὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ κατᾳθίνονθ' ὁρῶ;
ἧ πρῶτα μὲν τὰ μητρὸς, ἥ μ' ἐγείνατο,

241 ξυναίοιμι L *γ* add. Lε | 242 ἐντίμους Erfurdtius | ἰσχύουσα L ἴσχουσα Lε | 249 τᾶν Martinus | 250 εὐσεβεία Lε | 256 Aristoteles metaph. IIII, 5 p. 1015 *καὶ ἡ βία ἀνάγκη τις, ὥσπερ καὶ Σοφοκλῆς λέγει 'ἀλλ' ἡ βία με ταῦτ' ἀναγκάζει ποιεῖν'.* | 261 μὲν τὰ om. L add. Leω

εὔκηλος. | *οἷον, μηδὲ εἰ ἀγαθός τις ἐστίν, ᾧ ἐγὼ πρόσκειμαι, μηδὲ τούτῳ συνοικοίην εὖ, ζηλοῦσα αὐτῷ καὶ ἀποδεχομένη, εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο.* | *μήτε οὖν αὐτὴ γενοίμην, μήτε εἰ ⟨om. codd.⟩ ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη, ζηλοίην τὰ ἐκείνου, ὥστε καταφρονεῖν τῶν γονέων.* | 241 *Γονέων ἐκτίμους*] *τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους, ἀντὶ τοῦ ἐκτὸς τιμῆς* ⟨**Suidas ἐκτίμους Eustathius ad Hom. Od. Λ, 690 p. 1514** *οὕτω καὶ ἔκτιμον παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ τὸ ἔξω τιμῆς, ἑτεροῖον ὂν παρὰ τὸ ἔντιμον*⟩. | *ἀλλ' ἐν τῷ τιμᾶν τοὺς πατέρας εἶην διὰ τῶν γόων ⟨γονέων codd.⟩.* | 242 *πτέρυγας γόων τοὺς γόους λέγει.* | 249 *ἥ τε αἰδὼς ἔρροι ⟨ἔρροι codd.⟩ καὶ ἡ περὶ πάντας εὐσέβεια, εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται.* | 253 *Σὺ νίκα*] *τὸ ἐμὸν εἶπε διὰ τὸ φίλην εἶναι τὴν Ἠλέκτραν τῷ χορῷ· κοινὰ γὰρ τὰ τῶν φίλων ⟨τὸ — φίλων add. G om. L⟩. τὸ σὺ νίκα πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τὴν Ἠλέκτραν, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται.* | 254 *αἰδοῦμαι, εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν ⟨καὶ ἀπαραμυθήτως ἔχειν. add. Lε⟩* | 256 *Ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει*] *ἐπείπερ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται.* | 259 *Ἃ 'γὼ κατ' ἦμαρ*] *ἀναγκαίως κέχρηται τῷ νοήματι· ἐν ἡμῖν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα. ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς καὶ τὰ Αἰγίσθου ὁσημέραι γινόμενα, εἰκότως παρατείνει ⟨G παρατείνειε L⟩ τὸ πενθεῖν.*

ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι κἀκ τῶνδέ μοι
λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις, εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταὐτὰ καὶ παρεστίους
σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν,
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρί, μητέρ' εἰ χρεων
ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην.
ἡ δ', ὥδε τλήμων ὥστε τῷ μιάστορι
ξύνεστ', Ἐρινὺν οὔτιν' ἐκφοβουμένη·
ἀλλ' ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
ἐφροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην' ἱρὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσα δύσμορος κατὰ στέγας

265 λαθεῖν L λαβεῖν Lε | 272 γρ. αὐτοέντην Lε: αὐτοφόντην Lω | ἡμιν Σ Bergkius | 273 χρεών ω: χρεῶν L | 276 ἐρινῦν L | 277 τοῖς πεπραγμένοις Nauckius | 278 τηροῦσ' Meinekius: εὑροῦσ' Lω αἱροῦσ' Froehlichius | 279 ἐμόν ς | 281 ἱρά ς: ἱερά Lpς | 282 ὁρῶσα ς: ὁρῶσ' ἡ Lς

263 *Ἐν τοῖς ἐμαυτῆς*] *ἀνιαρὸν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς.* | 264 *Κἀκ τῶνδ' ἄρχομαι*] *καὶ βασιλεύομαι ὑπ' αὐτῶν· ἔτι δὲ τούτου χαλεπώτερον τὸ καὶ τούτοις ὑποτετάχθαι.* | 267 *Ὅταν θρόνοις Αἴγισθον*] *καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος ⟨Od. γ, 303⟩ Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης, κτείνας Ἀτρεΐδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτοῦ'.* | 269 *Φοροῦντ' ἐκείνῳ ταὐτά*] *οὐχ ὁμοια βασιλικὰ, ἀλλὰ τὰ ἐκείνου. πάνυ γὰρ τοῦτο περιπαθὲς καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός.* | 270 *Σπένδοντα λοιβάς*] *τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς, ὅπου ἄδικος φόνος εἴργασται.* | 271 *Ἴδω δὲ τούτων*] *ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα· κινητικὸν δὲ πρὸς οἶκτον τὸν αὐτοέντην πρὸς κοίτῃ πατρὸς ὁρᾶν κείμενον ⟨G ὁρᾶν κείμενον om. L⟩.* | 272 *Αὐτοφόντην*] *γρ. αὐτοέντην.* ⟨*cf. Bekkeri anecd. I p. 15,9 αὐθέντης· ὁ αὐτόχειρ. — Σοφοκλῆς δὲ λύσας τοὔνομα αὐτοέντης εἶπεν. ἔστι δὲ πολιτικώτερον τὸ αὐθέντης.*⟩ | *τὸ δὲ ἡμιν παρέλκει ἀττικῶς.* | 275 *Τλήμων*] *τολμηρὰ, ἀναιδής ⟨Suidas⟩.* | 278 *Εὑροῦσ' ἐκείνην ἡμέραν*] *τὸ εὑροῦσα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει· οἷον ἡδέως αὐτὴν θεωμένη.* | 281 *Θεοῖσιν ἔμμην' ἱερά*] *οἱ Ἀργολικοὶ συγγραφεῖς ιγ' εἶναι φασὶ μηνὸς Γαμηλιῶνος, ὡς Δεινίας ἐν ζ' Ἀργολικῶν.* | *Ἔμμενα*] *κατὰ μῆνα ⟨Suidas⟩.*

κλάω, τέτηκα κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην
αὐτὴ πρὸς αὑτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ' ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα τοιάδ' ἐξονειδίζει κακά
'ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο, μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.'
τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ' Ὀρέστην, τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστάς· 'οὐ σύ μοι τῶνδ' αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον, ἥτις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.'
τοιαῦθ' ὑλάκτει, σὺν δ' ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταὐτὰ νυμφίος παρών,
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ

283 κλάω Dindorfius: κλαίω Lω | 285 αὐτῇ L αὐτή Ա | αὑτήν ς: αὐτήν Lpς | 286 ἔχει Nauckius | 291 μηδὲ L μηδέ Lω | 293 κλύῃ erasa littera ϑ ut videtur L | 295 αἰτίαι L | 300 Suidas ὑλακτεῖ· ὁ πάντα κλεινὸς οὗτος ἡ πᾶσα βλαβή. Alexander de fig. 14 p. 448 ὁ πάντ' ἄναλκις — βλαβή. | ταὐτά Blomfieldus: ταῦτα Lω | 303 γρ. ἐγὼ δ' Ὀρέστην προσμένουσ' ἀεί ποτε Ա prob. Wunderus

283 Ἐπικωκύω] δακρύω. | 284 Ἐπωνομασμένην] ἐφ' ᾧ ὠνομάσθη. | * Eustathius ad Hom. Od. Δ, 528 p. 1507 ὡς καὶ τοῦτο λεχθείη ἂν Ἀγαμεμνόνειος δαὶς ἢ τράπεζα παροιμιακῶς ἐπὶ τῶν ἐπ' ὀλέθρῳ εὐωχουμένων. Σοφοκλῆς γὰρ Ἀγαμεμνόνειον δαῖτα λέγει τὴν κατ' ἔτος γινομένην, ὅτε τὸν Ἀγαμέμνονα ἔρριψαν οἱ ἀνελόντες αὐτόν. * | 286 Ὅσον μοι θυμὸς ἡδονήν] ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος 'οἵ τε (δὲ G) στεναγμοὶ τῶν πόνων ἐρείσματα'. | 287 Λόγοισι γενναία] εὐγενὴς λόγοις καὶ οὐ πράξεσιν. | 289 καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ. | Δύσθεον] ἀσεβές (Suidas). | Σοὶ μόνῃ πατὴρ τέθνηκεν] οὐκ ἀνῃρέθη φησίν, ἀλλὰ τέθνηκεν, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν. | 299 Ὑλακτεῖ] ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ ὡς κύων (Suidas). | 300 Ὁ κλεινός] κατὰ εἰρωνείαν εἴρηται. | 301 * Suidas ἄναλκις· ἀδύνατος, ἀσθενής· 'ὁ πάντ' — ποιούμενος'. * | Ὁ σὺν γυναιξὶ τὰς μάχας] συνεργούσης γὰρ Κλυταιμνήστρας ἀνεῖλεν τὸν Ἀγαμέμνονα (Suidas Hom. Od. ω, 97) 'Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο'. (Eustathius ad Hom. Il. Π, 492 p. 1072 ἰστέον δὲ ὅτι ἐκ τοῦ πολεμιστὰ μετ' ἀνδράσι ἔοικε Σοφοκλῆς λαβὼν εἰπεῖν ἀντιθετικῶς τό 'ὁ σὺν γυναιξὶν τὰς μάχας ποιούμενος' διὰ τὸν Αἴγισθον σὺν γυναικὶ ἀνδρίσασθαι τῇ Κλυταιμνήστρᾳ κατὰ τοῦ Ἀγαμέμνονος.)

παυστῆρ' ἐφήξειν ἢ τάλαιν' ἀπόλλυμαι.
μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἔν τοι κακοῖς
πολλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά.
ΧΟ. φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
ΗΛ. ἦ κάρτα μὴ δόκει μ' ἄν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.
ΧΟ. ἦ κἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
ΗΛ. ὡς νῦν ἀπόντος ἱστόρει τί σοι φίλον

* * *

ΧΟ. καὶ δή σ' ἐρωτῶ. τοῦ κασιγνήτου τί φῂς
ἥξοντος ἢ μέλλοντος; εἰδέναι θέλω.
ΗΛ. φησίν γε· φάσκων δ' οὐδὲν ὧν λέγει ποιεῖ.
ΧΟ. φιλεῖ γὰρ οἰκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
ΗΛ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
ΧΟ. θάρσει· πέφυκεν ἐσθλός, ὥστ' ἀρκεῖν φίλοις.
ΗΛ. πέποιθ', ἐπεὶ τἂν οὐ μακρὰν ἔζων ἐγώ.

304 παυστῆρα τῶνδε ἢ τάλαιν' ἀπόλλυμαι Wunderus | 305 ἀεί L Suidas μέλλω: αἰεί Ιρω μοι ς Thomas Magister p. 88 R. διέφθορεν: μου Lω Eustathius ad Hom. Il. A, 135 p. 191 | διέφθορας Eustathius | 308 ἔν τοι Hermannus: ἐν τοῖς Lω | 309 πολλήστ ἀνάγκη L erasis post κη duabus litteris, quarum altera alteri superscripta fuit πολλή τ' ἀνάγκη Ipς πολλή γ' ἀνάγκη e | 312 ἦ L ἢ Ա ω | 314 ἦ κἂν Ա p: ἢ δ' ἄν Lς ἢ τἂν Doederleinus spec. ed. Soph. p. 58 | 315 ταῦθ' L ταῦτ' Ա ω | 316 φίλων L φίλον Ա ω | 319 φάσκον τ (vel σ) L φάσκων δ' Ա ω | ὦ. littera erasa L ὧν Ιω | ποιεῖ L ποεῖ Ա | 320 πρᾶγμ' Lω Eustathius ad Hom. Il. K, 480 p. 819 πᾶς Suidas ὀκνῶν | 323 ἐπειτ' ἄν L ἐπεί τοι ἄν in marg. Ա ἐπεί τἂν ω | ἔζων L (ζ in litura)

305 Τὰς οὔσας] τὰς παρούσας. | 307 Ἐν οὖν τοιούτοις] θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται, ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινὰ πράσσουσι καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται. | 310 Φέρ' εἰπέ] ἐπεὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα κέχρηται, ὁ χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι, ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος. | 312 Ἦ κάρτα] ἐν ἤθει. οἷον πολλοῦ γε δεῖ. | Μὴ δόκει μ' ἂν εἴπερ] δαιμονίως ᾠκονόμηται τὸ ἀπεῖναι τὸν Αἴγισθον (G τοῦτο πρὸς L) πρὸς τὴν χείρωσιν Κλυταιμνήστρας· τὸ δὲ εἴργεσθαι ἐξόδου [πρὸς] τὴν μείρακα περιπαθὲς μὲν, χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν (Brunckius ὑπέρθεσιν L). | Λοκεῖ] ἀντὶ τοῦ ἡγοῦ. | 317 Τοῦ κασιγνήτου τι φῂς] λείπει ἡ περί. | 318 Μέλλοντος] βραδύνοντος. | 320 Φιλεῖ γὰρ οἰκνεῖν] δύναται τὸ οἰκνεῖν ὁμηρικῶς εἰρῆσθαι ἀντὶ τοῦ φοβεῖσθαι. 'οἰκνείω δ' ἵππων ἐπιβαινέμεν ὠκειάων' (Hom. Il. E, 255). | Πράσσων] ἐπιχειρῶν πράττειν. | 323 εἰ μὴ ἐθάρρουν.

ΧΟ. μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

ΧΡΥΣΟΘΕΜΙΣ.

τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν,
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥστ' ἂν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἵ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δ' ἐμέ.
τοιαῦτα δ' † ἀλλὰ καὶ σὲ βούλομαι ποιεῖν.
καίτοι τὸ μὲν δίκαιον, οὐχ ἥ 'γὼ λέγω,
ἀλλ' ἥ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.

ΗΛ. δεινόν γέ σ' οὖσαν πατρὸς οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα

325 φῦσαν ς | 330 *χρόνῳ γε τόδε διδαχθῆναι* Hartungus | 331 *γρ. ψυχῇν ματαίᾳ* Ⓛ | 332 *τοσοῦτον οἶδα γ' ἀλλ' αὐτή μ', ὅτι* Kolsterus phil. V p. 222 | 334 *φρονῶι* L eraso ι | 336 δ' ἐμέ Hartungus: δὲ μή Lω | 337 *τοιαῦτα δ' ἄλλα* Dindorfius *τοιαῦτα τἄμ' ἃ* Schneidewinus *τοιαῦτα δῆτα* Kayserus n. jahrb. f. philol. LXVIIII p. 508 *τοιαῦτα κἀμέ* Kolsterus *τοιαῦτα μᾶλλον* Hoffmannus ztschr. f. oest. gymn. V p. 533 *τοιαῦτα δ' ἄττα* Schmidtius philol. XIIII p. 465 | *πυεῖν* L | 338 *η γώ* L ᾗ 'γώ Ⓤω | 340 *ἀκοστέα* L | 341 *δεινὸν σὲ φῦσαν* Nauckius

324 *Ὡς δόμων ὁρῶ τὴν σὴν ὅμαιμον*] οὐχ ὡς τῆς Χρυσοθέμιδος τἀναντία φρονοῦσης τῇ Ἠλέκτρᾳ, ἀλλ' ἐπειδὴ ὁρῶσιν ἐναγίσματα ⟨GH ἐναγήματα L⟩ βαστάζουσαν, τοῦτο πρῶτον πυθέσθαι βουλόμεναι κωλύουσιν αὐτὴν τῶν ἐξῆς λόγων. ⟨τὸ δ' ἀληθέστερον οἶμαι ὅτι βούλονται τῶν Χρυσοθέμιδος κατακοῦσαι λόγων πρῶτον πρὸ τῆς Ἠλέκτρας, τῷ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας μέρει προστιθεμένης. καὶ δῆλον ἐκ τῶν ἑξῆς. add. H⟩ | 328 τὸ ἑξῆς· *τίνα φάτιν φωνεῖς;* | *Τίν' αὖ σὺ τήνδε*] ἐπίτηδες τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξεν, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιρρήσεσι τὰ δράματα. | 335 *Ὑφειμένῃ δοκεῖ*] μὴ ⟨add. Brunckius om. L⟩ ὅλον τὸ ἱστίον ἀναπετασάσῃ· ἀπὸ μεταφορᾶς ⟨add. G om. L⟩ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχοιντες ὑφιᾶσι τῶν ἱστίων. | *Εἰς τὸ αὐτό*] ὑφήσειν τὸ ἱστίον, οἷον συστέλλειν τὸ φρόνημα καὶ μὴ ἀνικρὺς μάχεσθαι· οἱονεὶ 'τῇ προαιρέσει χρῶμαι'. | 338 ὁ νοῦς· *τί ὄφελος τῆς δικαιοσύνης, εἴ τις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ;* | 342 *Μέλειν*] φροντίζειν. | 343 *Ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα*] ταῦτα ὁποιά ἐστι τὰ ἐπὶ τῇ Ἀντιγόνῃ, ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ καὶ φησὶν αὐτὴν τὰ Κρέοντος φρονεῖν ⟨*Antig.* 549⟩. |

κείνης διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἔπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἥτις λέγεις μὲν ἀρτίως ὡς, εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης
οὔτε ξυνέρδεις τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μέν, οἶδ', ἀπαρκούντως δέ μοι.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ' ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεμβάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κεισθῶ καὶ περιρρείτω βίος.
ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον

345 ἔπειθ' L ἐπεί θ' c. glossa *τοι* Ⓛ | *ὁμολόγει θάτερ'* Hartungus | *θάτερον* ς | 346 *φρονοῦσα καὶ μνήμην* Kayserus | 354 *ἀπαρκούντως* Thomas Magister p. 24 R ⟨*ἀπαρκεῖ κάλλιον ἢ ἀρκεῖ. Σοφοκλῆς 'ἀπαρκούντως ἐμοί'*⟩: ἐπαρκούντως Lω | δ' ἐμοί Brunckius: δέ μοι Lω | 355 τεθνηκώτι L τεθνηκότι Ⓛ | 357 ἡμὶν L ἡμὶν Ⓛ *σὺ δὴ μάλ'* Burgesius ad Eur. Troad. p. 89 | 359 οὖν add. Ⓛ | 362 περιρρείτωι L | 363 τοῦ με μή L τοὐμὲ μή Ⓛ | *μὴ λιπεῖν* Canterus *μὴ 'κλιπεῖν* Lobeckius ad Soph. Aiac. p. 312 ed. 1. *νιν λυπεῖν* Brunckius *μὴ λυποῦν* Erfurdtius *μὴ γνυπτεῖν* Bergkius ⟨Hesychius *γνυπτεῖν· ἀσθενεῖν, μαλακίζεσθαι*⟩ *μὴ λήγειν γόων* Schneidewinus *τῶνδε μὴ λήγειν γόων* Nauckius *τοὖν ἐμῇ λύπῃ* Burgesius ad Eur. Troad. p. 180 *τοὐμμένειν λύπῃ* Schmidtius philol. XIIII, p. 466 *ἔστω μὴ λυπεῖν πατέρα μόνον* Kayserus n. jahrb. f. philol. LXVIIII p. 508

Τἀμὰ νουθετήματα] οἷον ἃ εἶπες ἐμὲ νουθετοῦσα ⟨ἠθέτισαν G⟩. | 345 *Ἔπειθ' ἑλοῦ γε*] ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς προστιθεμένην τοῖς ἐχθροῖς, ἢ φρονοῦσαν τῶν φιλτάτων ἀμνημονεῖν. | οἷον θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἐκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς. | ⟨τὸ θάτερα ἀντὶ τοῦ θάτερον ἀττικῶς Ⓛ⟩. | *Ἑλοῦ*] ὁμολόγησον. | 348 *Τὸ τούτων μῖσος*] λείπει ἡ κατά. | 350 *Τήν τε δρῶσαν ἐκτρέπεις*] ἀντὶ τοῦ ἐμέ. ἡ δὲ ἐκ ἀντὶ τῆς ἀπό· ἀποτρέπεις. | 354 *Κακῶς μὲν ζῶ*] ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς ⟨καὶ ἀνιᾶν add. H⟩ τοῦτο πράττω. | *Κακῶς*] ὀδυνηρῶς. | *Ἐπαρκούντως δέ μοι*] οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν. | 355 λυπῶ τούτους διὰ τὸ τιμᾶν τὸν πατέρα. | 362 *Περιρρείτω βίος*] δαψιλὴς ἔστω σοῦ ⟨σοι H⟩ ἡ τροφή. | 363 *Ἐμοὶ γὰρ ἔστω*] ἐμοί, φησίν, ἔστω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πεῖνην ἀπελαύνουσα· οὐ δέομαι γὰρ τοιαύτης τροφῆς, ἀφ' ης ἡδονὴν σχήσω. |[2]τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν,

βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σύ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανεῖ πλείστοις κακή,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟ. μηδὲν πρὸς ὀργὴν πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
ΧΡ. ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛ. φέρ' εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡ. ἀλλ' ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου καί με μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;
ΧΣ. μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.

364 τυχεῖν Lpς: λαχεῖν ⊔2ς | 365 δ' om. L add. ⊔3 | 367 οὕτωι L | φανῆι L | 371 αὕτη ς: αὐτή Lpς | 372 εἰμή L εἰμί ⊔1 | 375 γρ. λόγων ⊔3 | 376 εἰ δὲ τῶνδε Elmsleius ad Soph. Oed. C. 115 | 377 σοι L τοι ⊔2 | 379 λήξησ L | γρ. λόγων ⊔3 | 381 καθορῇ Ammonius p. 51 ἐνταυθοῖ κατόψει Eustathius ad Hom. Od. σ, 105 p. 184 | 385 ποιεῖν L ι post ο eraso ποεῖν Eustathius ad Hom. Il. Ψ, 728 p. 1326

εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι. ⊔2⟩ | Τοὐμὲ μὴ λυπεῖν] τοῦ μὴ λυπεῖν τὸν πατέρα. | 365 Οὐδ' ἂν σὺ σώφρων] οὐδ' ἂν σὺ, εἰ ἐσωφρόνεις, ἁβρῶς ἔζης ἠμεληκυία τοῦ πατρός. | 366 Καλοῦ] ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου. | 369 Ὡς τοῖς λόγοις ἔνεστιν ἀμφοῖν κέρδος] εἰ συγκεράσαιτε τοὺς τρόπους, εὖ ἂν ἔχοι· ἡ μὲν γὰρ αὐστηρά, ἡ δὲ ἀνειμένη. | 372 Ἠθάς εἰμί πως] ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. | 373 Τῶν τῆσδε μύθων] τῶν παρ' αὐτῆς λεγομένων μύθων. | 375 Μακρῶν] μεγάλων ἢ πολυχρονίων. | ⟨Σχήσει] ἐφέξει, κωλύσει ⊔2⟩ | 381 Κατηρεφεῖ] κατεσκεπασμένῃ (cf. Suidas κατηρεφέα· κατεστεγασμένα. 'μέλλουσι — κακά. Hesychius κατηρεφές· κατεστεγασμένον), ⟨σκοτεινῇ ⊔2⟩. | 382 * Eustathius ad Hom. Il. Z, 171 p. 634 ἐοικέτω — τῷ ὑμνεῖν φαύλως ἐκλαμβανομένῳ ποτὲ κατὰ βαρεῖαν ἀντίφρασιν. Σοφοκλῆς 'ὑμνήσεις κακά' ἤγουν ὑβρίσεις. * | 384 Νῦν γὰρ ἐν καλῷ φρονεῖν] νῦν, φησίν, εὔκαιρόν ἐστι καλῶς φρονῆσαι. | Ἐν καλῷ] ἔγκαιρον. | ἁρμόζει λίαν τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.

ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡ. τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτω φύγω.
ΧΡ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛ. καλὸς γὰρ οὑμὸς βίοτος ὥστε θαυμάσαι.
ΧΡ. ἀλλ' ἦν ἂν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛ. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡ. ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
ΗΛ. σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡ. καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ. πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι.
ΧΡ. πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡ. σὺ δ' οὐχὶ πείσει καὶ συναινέσεις ἐμοί;
ΗΛ. οὐ δῆτα. μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡ. χωρήσομαί τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛ. ποῖ δ' ἐμπορεύει; τῷ φέρεις τάδ' ἔμπυρα;
ΧΡ. μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛ. πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡ. ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡ. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛ. ὦ θεοὶ πατρῷοι συγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.

391 προσωτάτω φύγω L. Dindorfius: προσώτατ' ἐκφυγῶ Lω | 396 εἰκάθειν Elmsleius ad Eurip. Med. 186: εἰκάθεῖν Lω | 399 τιμωρούμεναι ς | 402 πείσηι L | 404 χωρήσωμαι L χωρήσομαι ⊔1 | 405 ἐμπορεύηι L (μ ex ν ut videtur facto) ς | ποῖ φέρεις p | 407 εἰ L ἦ ⊔1 | συγγένεσθ' ς Suidas | 409 τῷ τόδ' Elmsleius | 413 λέγοις pς: λέγεις Lς

391 πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτοῖς συγκαταλέγει, ὡς τὰ αὐτῶν αἱρουμένης. | 393 εἰρονεύεται ἐν ἤθει. | 401 Κακόν ⟨κακῶν ed. Rom.⟩ ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη. | 403 Νοῦ κενή] ἀντὶ τοῦ συνέσεως κούφη. | 210 Δοκεῖν ἐμοί] κατὰ τὸ δοκοῦν ἐμοί. δοκέον γὰρ δοκεῖν οἱ Ἀττικοὶ λέγουσιν, οὐ δοκοῦν, καὶ πλέον πλεῖν, καὶ δέον δεῖν. | 411 Συγγένεσθε] συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν ⟨Suidas⟩. | ἀκούσασα δὲ, ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ Κλυταιμνήστρᾳ γέγονε, θαρσεῖ καὶ ἐπικαλεῖται τοὺς θεοὺς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παριστάναι. | * Suidas ἀλλὰ νῦν· 'ὦ θεοί — νῦν' ἀντὶ τοῦ διὰ τάχους ἡ τραγῳδία φησίν. *

ΧΡ. ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι.
ΗΛ. λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.
ΧΡ. λόγος τις αὐτὴν ἐστιν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δεύτεραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὑφόρει ποτὲ
αὐτός, τανῦν δ' Αἴγισθος, ἐκ δὲ τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλὸν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἠνίχ' Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου χάριν,
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν
ἐμοὶ πιθέσθαι μηδ' ἀβουλίᾳ πεσεῖν·
εἰ γάρ μ' ἀπώσει, σὺν κακῷ μέτει πάλιν.
ΗΛ. ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις
οὐδ' ὅσιον ἐχθρᾶς ἱστάναι κτερίσματα
γυναικὸς οὐδὲ λουτρὰ προσφέρειν πατρί·
ἀλλ' ἢ † πνοαῖσιν ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς

414 σμικροῦ L σμικρῶν L σμικρόν Lω σμικρῷ p | 415 πολλάκις l | 421 ἐκ δέ g: ἔκ τε Lω | 422 ᾧ ω: τῷ L | βρύοντα κλῶνα, τῷ Bergkius | 426 τοιαῦτα τοῦ παρόντος — ἐξηγουμένου schol. Soph. Oed. C. 477 | 427 μ' ἐκείνη ς: με κείνη Lpς | 428 *Ηλ.* praescr. Lω del. Turnebus | πρός νυν Dindorfius: πρὸς νῦν Lω | 430 ἀπώσῃ L | 431 *Ηλ.* add. Turnebus: om. Lω | 433 ἐχθρᾶς ἱστάναι κτερίσματα γυναικός Nauckius: ἐχθρᾶς γυναικὸς ἱστάναι κτερίσματ' Lς ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι κτερίσματ' Lς τόδ' οὐδ' ὅσιον ἐχθρᾶς γυναικὸς Schneidewinus | 435 ῥοαῖσιν Heathius ἢ 'ν πόαισιν Froehlichius | 436 κρύψο L κρύψον L

414 *Πλὴν ἐπὶ σμικρῶν*] ἀντὶ τοῦ πλὴν ὀλίγων. | 415 * *Suidas πολλά — βροτούς· ἀντὶ τοῦ ἀπὸ τῶν τυχόντων καὶ βλάπτονται καὶ ὠφελοῦνται.* * 418 *Δευτέραν ὁμιλίαν*] ὡς αὖθις αὐτοῦ ἀναζήσαντος καὶ προσομιλήσαντος. | 419 *Ἐφέστιον*] ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέστιν ἔποικον ⟨Suidas ἐπ' οἶκον L⟩ | 422 ἐσήμανεν αὐξηθησόμενον Ὀρέστην [τὸν θαλλόν] ⟨om. G⟩. | 424 *Ἠνίχ' ἡλίῳ*] τοῖς γὰρ παλαιοῖς ἔθος ἦν ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα. | *ἡλίῳ* ἀντὶ τοῦ ἡμέρᾳ. *ἤκουσα, φησί, τοῦ ὀνείρου, ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί.* | 430 *Εἰ γάρ μ' ἀπώσει*] εἰ γὰρ νῦν, φησί, δεομένην σου ἀπώσῃ με, κακοῦ σοι τινὸς γενομένου μετὰ ταῦτα αὐτὴ μεταμελήσῃ με καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι. | 432 *Οὐ γάρ σοι θέμις*] καὶ ἵνα μὴ ἀποτρέψῃ, εἴ τι κακὸν μέλλοι γενέσθαι διὰ τῶν ὀνείρων. | 436 *Εὐνήν*] νῦν τὸν τάφον.

τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.
ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ' ὅν γ' ἔκτεινεν τῶδ' ἐπέστεφε.
σκέψαι γάρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς
ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρᾳ

439 δ' ἂν L γὰρ L (supra scr.) ς | 440 ἔβλαστε πασῶν Dobreus adv. II p. 49 | 441 ἔκτεινεν ὧδ' Kolsterus philol. V p. 203: ἔκτεινε τῷδ' Lω | 443 δέξεσθαι Heathius | νέκυς in litura pro αυτως vel αυτασ L | 445 κάρᾳ Σ Eustathius Brunckius: κάρα LΣ

439 *Ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη*] καθόλου, φησίν, εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἂν ποτε ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τοῦ πατρός, ὃν αὐτὴ ἀνεῖλεν· εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι λυσιτελοῦντι πράττειν, ᾧ μὴ ὑπουργήσῃς σύ. | 445 *Ἐμασχαλίσθη*] οἷον ὑπὸ τὰς μασχάλας ἔλαβεν ἄκρα, ἀντὶ τοῦ ἠκρωτηριάσθη. | *Ἐμασχαλίσθη κἀπὶ λουτροῖσιν κάρα*] εἰώθεισαν τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. ⟨Suidas μασχαλισθῆναι. ἀποτροπιαζόμενοι. etym. magn. p. 574 μασχαλίζω.⟩ τὸ δὲ ἐξέμαξεν ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας, καὶ τὸ κάρα αὐτοῦ τὰς κηλῖδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. | οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεὶ φησίν ⟨Od. δ, 535⟩· ἔκτεινε ⟨G ἐκεῖνος L⟩ δειπνίσας, ὥς τις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ. ἥρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι· τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. | ἄλλως. εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποτεμνόμενοι, καὶ ⟨καί om. LG add. Suidas⟩ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες, διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν εἰς ὕστερόν τι παρ' ἐκείνων δεινόν. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα, ὃ καὶ μασχαλίσαι ἔλεγον. ⟨Suidas μασχαλισθῆναι. etym. magn. p. 574 μασχαλίζω.⟩ | ἄλλως. ἐπὶ ταῖς καθάρσεσι τοῦ φονευθέντος τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὴν μασχάλην αὐτοῦ ἐκρέμαζον αὐτά, ἵνα, φασίν ⟨Suidas φησίν L⟩, ἀσθενὴς γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος ⟨IIII, 477⟩ 'ἐξάργματα τέμνε θανόντος' περὶ ⟨Suidas om. L⟩ τοῦ Ἰάσονος. ⟨Suidas μασχαλισθῆναι. etym. magn. p. 574 μασχαλίζω.⟩ | *Photius Suidas μασχαλίσματα. Ἀριστοφάνης* ⟨φησί add. Nauckius Aristoph. Byz. p. 221⟩ παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ κεῖσθαι τὴν λέξιν ἔθος σημαίνουσαν. οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινὰς ὑπὲρ τοῦ τὴν ⟨τήν om. Photius⟩ μῆνιν ἐκκλίνειν ἀκρωτηριάσαντες μόρια τούτου ⟨οἷον ὤτων ῥινῶν add. Hesychius⟩ καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείραντες καὶ μασχαλίσματα προσηγόρευσαν ⟨Hesychius μασχαλίσματα· γὰρ φονεύσαντες — προσηγόρευσαν⟩. *Suidas ἐμασχαλίσθη· ἔθος ἦν τοῖς ἀρχαίοις, ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινά, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρὸν καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντας κρημνάναι τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείροντας· ἀφ' οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτά. Σοφοκλῆς ἐν Τρωίλῳ 'πλήρη μασχαλισμάτων'. εἴρηκε τὸν μασχαλισμὸν καὶ ἐν Ἠλέκτρᾳ. Hesychius*

κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λύτηρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
ἄχω, δὸς αὐτῷ, τήνδ' ἀλίπαρῃ τρίχα
καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν,
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς

446 ἐξαίμαξεν Ll ἐξέμαξεν Lω | 447 αὐτή L αὐτῇ Lω | 449 φόβας Lω κόμας Lg | 451 αχω L ἄχω Lω | τήνδε λιπαρῆ Σ τήνδε τ' ἀλιπαρῆ Froehlichius τήδε γ' ἀλίπαρον Hartungus τήνδε τε λιπαράν Deventerius de interpolatt. Sophocl. p. 60 | 452 προσπίτνουσα Ll προσπιτνοῦσα Lω

*μασχαλισθῆναι· ἀνηρτῆσθαι ἐκ τῶν μασχαλῶν. etymologicum magnum p. 118 ἀπάργματα λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα· ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἦν γάρ τι νόμιμον τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. τὰ δὲ ἀκρωτήρια εἴροντες καὶ συρράπτοντες διὰ τῶν τοῦ νεκροῦ μασχαλῶν καὶ τοῦ τραχήλου περιετίθουν τῷ νεκρῷ καθὰ φησὶ Σοφοκλῆς· 'ὑφ' ἧς — ἐμασχαλίσθην'. ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον Αἰσχύλος μαρτυρεῖ καὶ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά. schol. Apollonii Rhodii IIII, 477 ἐξάργματα τῶν ἀποθανόντων οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρομένου καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτῶν. τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων ἄπειρα καὶ πολλὰ ἐξάργματα. ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες τρὶς εἰς τὸ στόμα ἀπέπτυον. τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν. Hesychius τόμια· τὰ ἀποτμήματα καὶ ἀκρωτηριάσματα τοῦ νεκροῦ. | 446 Κηλῖδας ἐξαίμαξεν] ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας, ἢ τῇ τοῦ φονευομένου, ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι. ⟨cf. Eustathius ad Hom. Od. τ, 92 p. 1857 καὶ ἔστιν εὑρεῖν τοιαύτην ἐννοίαν καὶ παρὰ τῷ Σοφοκλεῖ ἔνθα φαίνεται ταῖς πεφονευμένων κεφαλαῖς ἐναπομάττεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα, ὡς εἰς κεφαλὴν δῆθεν ἐκείνοις τρεπομένου τοῦ κακοῦ.⟩ | 448 προωκονόμησεν ⟨Dindorfius προωκονόμισεν G προοικονομικῶς L⟩ ἀποστέλλων ⟨ἀποστέλλ G ἀποστέλλει L⟩ αὐτὴν εἰς τὸν τάφον, ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου. | 449 * Suidas φόβας τὰς τρίχας· 'τεμοῦσα — φόβας'. * | 451 * Suidas ἄχω· ἀντὶ τοῦ ἆ ἔχω· Σοφοκλῆς 'κἀμοῦ — ἄχω'. * | Ἀλιπαρῆ τρίχα] περιπαθῶς μὲν τὸ τῆς πενίας. τὸ δὲ ἀλιπαρῆ ἀντὶ τοῦ αὐχμηράν. ἐν δὲ τῷ ὑπομνήματι λιπαρῆ ὅ ἐστιν ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἐκέτην τρίχα. ⟨cf. Suidas ἀλιπαρῆ ἀντὶ τοῦ αὐχμηράν, ἢ λιπαρῆ, ἐξ ἧς αὐτὸν λιπαρήσομεν· Σοφοκλῆς 'κἀμοῦ — ἠσκημένον'. Hesychius ἀλιπαρῆ· αὐχμηρά. Eustathius ad Hom. Il. K, 31 p. 787 τὸ αὐχμηρόν, ᾧ ἴσον τὸ ἀλιπές, ἔτι δὲ καὶ τὸ ἀλιπαρὲς κατὰ τὸ ἀλιπαρῆ τρίχα.⟩ | 452 Καὶ ζῶμα τοὐμόν] σύμφωνον τοῦτο τῷ ⟨190⟩ 'ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ'. | ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα ⟨Suidas ζῶμα⟩, ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας. | δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ ταινίας. | 455 Ἐξ ὑπερτέρας χερός] ἀντὶ τοῦ ἰσχυροτέρας. οἷον μετὰ δυνάμεως μείζονος.

ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
οἰμαι μὲν οὖν, οἰμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρύσοπτ' ὀνείρατα.
ὅμως δ', ἀδελφή, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἄρωγα τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.
ΧΟ. πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
ΧΡ. δράσω· τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγοιν
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδει τὸ δρᾶν.
πειρωμένη δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.
ΧΟ. εἰ μὴ 'γὼ παράφρων μάντις ἔφυν καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἃ πρόμαντις
Δίκα, δίκαμα φερομένα χεροῖν κράτη·
μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θράσος,
ἀδυπνόων κλύουσαν
ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας Ἑλλάνων ἄναξ,

472—487 = 488—503

456 ἐπιβῆναι L ἐπεμβῆναι Lω | 466 et 467 del. Nauckius adfert Ioannes Stobaeus flor. XI, 9 | 466 λόγοιν Scaliger: λόγον LΣω | 467 ἐπισπεύδει Ioannes Stobaeus: ἐπισπεύδειν Lω ἐπισπέρχειν Schmidtius philol. XIIII p. 468 ⟨Hesychius ἐπισπέρχειν· ἐπισπεύδειν⟩ | 472 'γω Brunckius: ἐγώ Lω | 479 θράσος Lls: θάρσος Lpς | ὕπεστί τί μοι θράσος Hartungus | 480 κλύουσα pς κλυούσῃ ς | 482 ἀμνηστεῖ L | σ' ὁ φύσας Wakefieldius silv. crit. III p. 93 ὁ φύσας σ' Froehlichius

463 Κλυτῷ παιρί] τῷ ἐμῷ καὶ σῷ. | 466 Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον] οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν· δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τὸ οὐκ ἔχει λόγον ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν ⟨Suidas λόγον ἔχειν⟩. | ἄλλως. οὐ διισταμοῦ, φησί, καὶ ἀμφιβολίας προσδεῖται τοῖς δυσί, πότερον δεῖ ⟨ed. Rom. διὰ L⟩ ταῦτα ποιεῖν ἢ προσερίζειν. | 469 Σιγὴ παρ' ὑμῶν] εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν χορόν. | 471 Πεῖραν] τὴν ἐπιχείρησιν. | 472 Εἰ μὴ ἐγὼ παράφρων] ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος θαρρεῖν παραινεῖ τὴν Ἠλέκτραν. | Παράφρων] ἀνόητος. | 475 Εἶσιν ἃ πρόμαντις] ἡ προμαντευομένη τὰ μέλλοντα, ἢ τοῖς συνετοῖς προγινωσκομένη. | 477 Μέτεισιν] μέτεισι, φησί, παρέχουσα τούτοις δύναμιν ὡς χειρώσασθαι τοὺς ἐχθρούς. | 482 Οὐ

οὐδ' ἁ παλαιὰ χαλκόπλακτος ἀμφάκης γένυς,
ἅ νιν κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους καὶ πολύχειρ ἁ δεινοῖς
κρυπτομένα λόχοις
χαλκόπους Ἐρινύς.
ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων
γάμων ἁμιλλήμαθ' οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ' ἔχει
⊥ ⏑ ⏑ μήποθ' ἡμῖν
† ἀψεγὲς πελᾷν τέρας

485 πλαιά L παλαιά ⊔ | χαλκόπληκτος Lω | ἀμφάκης Hesychius: ἀμφήκης Lω | 487 πολύπαις Σ | 491 ἐρινῦσ L | 494 ὁμιλημάθ' Musgravius Schmidtius philol. XIIII p. 468 | 495 μένει Bergkius πρὸς ὧν ἄγη μ' ἔχει Kolsterus philol. V p. 601 πρὸ τῶνδ' ἔχω θράσος Kayserus n. jahrb. f. philol. LXVIIII p. 511 πρὸ τῶνδέ τοι θράσος Wunderus πρὸ τῶνδέ μ' ἔχει θράσος Hartungus πρὸ τῶνδ' ἕτοιμ' ἔχε Lachmannus de chor. system. p. 172 πρὸ τῶνδ' ἕτοιμ' ἔχει Schneidewinus δοκὼ δέ τοι μ' ἔχει Nauckius | 496 μήποθ' Llg μήποτε μήποθ' pς | ἧμιν L ἡμῖν ⊔ | ὑμῖν Reiskius ἥκειν Martinus progr. Posn. 1858 p. 21 | 497 ἀψεφές Bergkius ztschr. f. alt. 1836 p. 47 Dindorfius ⟨Hesychius ἀψεφές· ἀφρόντιστον· Σοφοκλῆς Φαίδρᾳ. Bekkeri anecd. p. 476 ἀψεφές· ἀφρόντιστον· Σοφοκλῆς⟩ μαψεπές Schneidewinus | μέλαν Martinus

γάρ ποτ' ἀμνηστεῖ] οὐ γὰρ ἀμνημονεῖ ⟨Suidas⟩, φησί, τῶν τολμηθέντων καθ' ἑαυτοῦ ὁ βασιλεύς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν. | καὶ ἄλλως· ⟨add. G⟩ | 484 ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. οὐδ' ἀμνημονεῖ, φησίν, ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτόν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων. | 485 * Hesychius ἀμφακλῆς ⟨ἀμφάκης Musurus γένυς add. Valckenarius diatr. p. 145⟩· ἀξίνη. * | Γένυς] εἶδος πελέκεως. | 488 Ἥξει καὶ πολύπους] ἡ Ἐρινύς, ἡ ἐκείνῳ τῷ φόνῳ ἀκολουθήσασα· οὕτως ἐν τῷ ὑπομνήματι. | Ἥξει καὶ πολύπους] τὸ πολύπους ⟨πολύπαις Hartungus⟩ ἐν ὑπερβολῇ ἔθηκεν. ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις ⟨πολύπους Hartungus⟩. ἐπεὶ γάρ, φησίν, ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ ἔθηκεν, ἡ πολλὰ κακὰ τίκτουσα. | 491 Χαλκόπους] ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων ⟨Suidas⟩. * Eustathius ad Hom. Il. I, 454 p. 763 Ἐρινῦς, αἳ καὶ χαλκόποδες λέγονται διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ βαρὺ τῆς ἐπεμβάσεως. * | 492 Ἄλεκτρ' ἄνυμφα] ἀντὶ τοῦ μὴ ⟨add. ed. Rom. om. L⟩ νενομισμένα, ἀλλὰ παράνομα διὰ τὴν μοιχείαν. | δύσλεκτρα ⟨κακόλεκτρα G⟩ καὶ κακόνυμφα ⟨Suidas⟩. | 493 Μιαιφόνων γάμων] ἤτοι ἐπὶ τῆς Ἐρινύος ἐστὶν ὁ λόγος· ἐπέβη γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα, ἐπέβη δὲ τούτοις, οἷς οὐ θέμις. οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν ἡ Ἐρινύς· διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δὲ οἷσιν οὐ θέμις ἐπὶ τῶν γάμων· φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα οἷς οὐκ ἔπρεπεν. | 495 Πρὸ τῶνδέ τοι μ' ἔχει] λείπει τὸ ἐλπίς. | ἢ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων, Αἴγισθον φησὶ καὶ Κλυταιμνήστραν, τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν· ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτό, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. | ἄλλως. θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. | Ἔχει θάρσος] τὸ τοι σύνδεσμος παραπληρωματικός. | 497 Τέρας] τὸ τοῦ ὀνείρου τέρας.

τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκτὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν
πολύπονος ἱππεία
ὡς ἔμολες αἰανὴς
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρυσέων δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθείς,
οὔ τί πω
ἔλιπεν ἐκ τοῦδ' οἴκους
πολυπάμονας αἰκία.

ΚΛΥΤΑΜΝΗΣΤΡΑ.

ἀνειμένη μὲν, ὡς ἔοικας, αὖ στρέφει.

498 ἦ L ἤ ⊔ | 501 καταντήσει Nauckius | 505 πολύποινος Valckenarius | 506 αἰανήσ L (σ eras.) ⊔ αἰανή ωΣ | 509 μυρτῖλος L μυρτίλος ⊔ω | 510 παγχρυσέων Hermannus: παγχρύσων Lω παγχρύσων ἐκ Dindorfius | 511 δύστανος Nauckius | 512 πρόρριζ' Hartungus | ἐκριφείς| Llς ἐκριφθείς ⊔pς ἐκτριφθείς Reiskius Porsonus adv. p. 209 | 513 τι Hermannus: τις Lω | 514 οἴκουσ L (σ eras.) ⊔ οἴκου ω οἴκον Dobreus adv. II p. 50 | πολυπάμονας Σ Bothius: πολύπονος Lω | 516 στρέφει ς: τρέφηι Ll Eustathius ad Hom. Il. B, 236 p. 168

498 Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις. | 500 Δεινοῖς] τοῖς ἐκφοβοῦσιν τοὺς ὁρῶντας, ὅταν ὦσι δεινοί. | 501 Θεσφάτοις] τοῖς τῶν ὀνείρων. | 503 Εὖ κατασχήσει] οὐ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ. | 504 Ὦ Πέλοπος] Φερεκύδης φησί· Πέλοψ νικήσας τὸν ἀγῶνα καὶ λαβὼν τὴν Ἱπποδάμειαν ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου· καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προιόντα πρὸς τὸ φιλῆσαι αὐτὴν ἔρριψεν εἰς θάλασσαν. | οἷον ἦν καὶ τὸ πρῶτον ⟨10⟩ 'πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε'. | 505 Πολύπονος ἱππεία] πολύπονος γενομένη πᾶσιν Ἀργείοις. καὶ ἑρμηνεύει αὐτό, λέγων 'ὡς ἔμολες αἰανῆς τᾷδε γᾷ'. | αἰανῆς δὲ, θρηνητικῆς, παρὰ τὸ αἶ αἶ ἐξ οὗ γίνεται. ⟨G cum Suida αἰανὴς κύκλος· — αἰανῆς θρηνητικῆς, παρὰ τὸ αἰάζω τὸ θρηνῶ.⟩ | 508 Εὖτε γὰρ ὁ ποντισθείς] ὁ νοῦς τοιουτός ἐστιν· ἀφ' οὗ ὁ Μυρτίλος ⟨ἐκ τῶν παγχρύσων δίφρων πεσών add. G⟩ ἀπέθανεν, οὐ διέλιπεν αἰκία τοὺς πολυκτήμονας ⟨πολυκτύμους G⟩ δόμους. ὁ γὰρ Ἑρμῆς, πατὴρ Μυρτίλου, ἐμήνισε τοῖς Πελοπίδαις. | 511 Αἰκίαις] αἰκισμοῖς, ὕβρεσιν. | 512 Πρόρριζος] ἀντὶ τοῦ, παντάπασιν ⟨Suidas⟩. | 516 Ἀνειμένη] ἄνεσιν ἔχουσα· πανταχόθεν ⟨Suidas⟩ δὲ διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής κατὰ σχῆμα ⟨στημα G⟩ πρεπόν ⟨κατὰ — πρεπόν add. G⟩.

οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπει
ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας ὡς θρασεῖα, καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω, κακῶς δέ σε
λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεί,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἶλεν, οὐκ ἐγὼ μόνη,
ἦ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες·
ἐπεὶ πατὴρ σοῦ οὗτός, ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν, δίδαξον δή με τοῦ χάριν τίνων
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ' οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,

517 σ' add. Lω | 518 γ' om. g | 519 εὐτρέπηι L | 521 περαι L | 525 τοι L σοι Lω | 527 del. Nauckius | 528 μιν L νιν LρωΣ 561 | εἶλεν κοὐκ L εἶλε κοὐκ Ll εἶλεν οὐκ ρω | 530 σὸς οὗτος Erfurdtius: οὗτος σός Lω | 533 del. Kolsterus philol. V p. 223 | 534 δέ Ll δή Lω | πρὸς χάριν Reiskius | τίνων Llς τίνος Lρς | 536 μεθῆκ' Nauckius | ἐμάν ut videtur L ἐμήν L | 538 ἔμελλεν L | 538 del. Nauckius

518 *Αἰσχύνειν φίλους*] ἀντὶ τοῦ καθ' ἡμῶν λέγειν. | 525 * *Suidas* πρόσχημα παρακάλυμμα τοῦ ἤθους, ἡ πρόφασις 'πατὴρ — τέθνηκεν. * | 526 *Ἐξ ἐμοῦ· καλῶς*] ἴδιον ῥητορικῆς ⟨τόλμης *add. L om. G*⟩ τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν. οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητής, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον. | 539 *Πότερον ἐκείνῳ παῖδες*] λαμβάνονταί τινες τοῦ ποιητοῦ ἐκ τῶν ὁμηρικῶν· ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν ⟨*Od. δ, 12*⟩, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι· ὅμως οὖν ⟨*Wolfius de Soph. scholl. p. 20* οὐ L οὕτω *Elmsleius*⟩, συμφωνεῖ αὐτῷ Ἡσίοδος 'ἣ τέκεθ' Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ· ὁπλοτατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος'. οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν, ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων ἅπερ παρατηρεῖν ἐχρῆν· ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερεν τῷ

οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;
ἢ τῶν ἐμῶν Ἅιδης τιν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω·
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δὲ σοι δοκῶ φρονεῖν κακῶς
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.
ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
λυπηρόν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἦν ἐφῇς μοι, τοῦ τεθνηκότος θ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς τῆς κασιγνήτης θ' ὁμοῦ.
ΚΛ. καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγους
ἐξῆρχες, οὐκ ἂν ἤσθα λυπηρὰ κλύειν.
ΗΛ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασεν

542 ἦ Brunckius | τίν' L | πλέων L πλέον Lρω πλέω l | 544 τῶν post ν littera erasa L | 549 post πεπραγμένοις sex litterae erasae L | 554 ἦν L ἦν L | super ἐφῇς eras. αδε ut videtur L | τεθνηκότος ὕπερ Llg τεθνηκότος γ' ὕπερ pς τεθνηκότος θ' ὕπερ Triclinius τεθνηκότος πέρι Nauckius | μοι τῆς κασιγνήτης ὕπερ λέγοιμ' ἂν ὀρθῶς τοῦ τεθνηκότος θ' ὁμοῦ Nauckius | 556 μοι ὧδ' Hartungus | λόγους L λόγοις Lρω | 559 ἐτ eras. ἂν ut videtur L | 561 οὖν L οὐ L

λόγῳ τῆς Κλυταιμνήστρας. | *Ἑρμιόνη καὶ Νικόστρατος.* | 540 *Τῆσδε*] ἀντὶ τοῦ τῆς Ἰφιγενείας. | 542 *Ἢ τῶν ἐμῶν Ἅιδης*] τὸ ἐξῆς· ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα Ἅιδης ἔσχεν ἢ τῶν ἐκείνης; | 545 *Παρεῖτο*] ἠμελεῖτο, παρῃρεῖτο. | 550 *Δύσθυμος*] κακόβουλος ⟨*Suidas*⟩. | 551 *Γνώμην δικαίαν*] οἷον λογισμῷ χρησαμένη δικαίῳ, τῷ τε ⟨μὴ *G*⟩ τοὺς πέλας ψέγειν ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. τινὲς τοὺς πέλας τοὺς περὶ Ἀγαμέμνονα. | 552 *Ἐρεῖς μὲν οὐχὶ νῦν*] οὐκ ἂν εἴποις νῦν λυπήσασά με τοιαῦτα ἀντακήκοας· ἐμοῦ γὰρ εἰπούσης οὐδὲν σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας. | 556 *Εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις*] εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά. | 558 *Πατέρα φῂς κτεῖναι*] ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον· καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴ γε δικαίως· δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ· δείκνυσι δὲ, ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσεν τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι. | 561 *Ὡς οὐ δίκῃ γ' ἔκτεινας*] ἐναντίον τῷ ⟨528⟩ 'ἡ γὰρ Δίκη νιν εἶλε' τὸ 'ὡς οὐ δίκῃ γ' ἔκτεινας'. | *Ἔσπασε*] παρήγαγε, παρέπεισεν. | *Ἀλλὰ σ' ἔσπασεν πιθώ*] αὕτη γὰρ ἀπό-

πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινὰς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἤλυσις
ἄλλη στρατῷ πρὸς οἶκον οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ κἀντιβὰς μόλις
ἔθυσεν αὐτήν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ

562 *πιθώ* L | 564 *ποινάς* L *ποινῆς* LωΣ | *αὐλίωι* L *αὐλίδι* Lω | 565 *ἢ 'γὼ φράσω. πατὴρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, κατ' ἄλσος ἐξεκίνησεν θεᾶς στικτόν* Nauckius | 567 *πλανῶν* Hartungus *αἰζῶν* Bergkius | 568 *κατασφαγάς* g Hermannus | 572 *αὐτοῦ* ς: *αὑτοῦ* Lp | 573 *ἤλυσις* Wunderus emend. in Soph. Trach. p. 141: *ἦν λύσις* Lω | 574 *οἶκον ἦν οὐδ' Ἴλιον* Wunderus | 575 *μόγις* ς | 578 *ἔδρω* L *ἔδρα* Lω | 580 *ὅραι* L | 581 *τίθησ* Ll | 583 *τυγχάνοις* ps: *τυγχάνεις* Lς | 586 om. L in marg. add. L

δειξις οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν. | 563 *Τίνος ποινῆς*] *λείπει ἡ διά.* | 567 *Ἐξεκίνησεν*] *ἐξεδίωξεν* ⟨*Suidas*⟩. | 575 *Πολλὰ κἀντιβάς*] *ἀντιπαραττόμενος καὶ μὴ βουλόμενος· διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως.* | 577 *Εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν*] *πιθανῶς κατασκευάζει ὅτι, εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς.* | 583 *Πρώτη θάνοις ἄν*] *ἀντὶ τοῦ Ἀγαμέμνονος.* | 584 *Ἀλλ' εἰσόρα*] *ὅρα, φησί, μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν.* ⟨*cf. Suidas σκῆψις· περικάλυμμα, πρόφασις ἢ φροντίς. — Σοφοκλῆς 'ἀλλ' — τίθῃς'.*⟩

πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς, τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ ταῦτ' ἐρεῖς
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς γ', ἐάν περ καὶ λέγῃς. ποῦ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα;
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα τοῦ τε συννόμου.
σ' δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγών,
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα
ἐπητιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρῇς κακὴν
εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.

588 *ἐμόν* Ll *ἀμόν* Lω | 588 del. Wunderus emend. in Soph. Trach. p. 16 | 590 *κἀξ* L *κ* illatum L | *βλαστῶντας* L | 591 *γρ. ἐπαινέσωμεν* L | *ἢ* Brunckius | *ταῦτ'* Dobreus adv. II p. 50: *τοῦτ'* Lω | 592 *τυγχάνει* Ll *λαμβάνει* L *λαμβάνεις* ps | 593 *αἰσχρῶς γ'* Hartungus: *αἰσχρῶς δ'* Lω *δ'* om. g | *λέγεισ* L *λέγῃσ* L | *ποῦ* Dobreus adv. II p. 50: *οὐ* Lω | 595 *σοι* L *σε* L | 596 *ἴεις* Lς | *ἀλλ' ἐγώ σε* Kayserus n. jahrb. f. philol. LXVIIII p. 508 | 601 *ὁ δ' ἄλλοσ'* Nevius *ὁ δ' ἀμός* Wexius beitr. z. krit. d. Oed. Col. p. 18 *ὁ δ' αὖ τόσ'* Martinus progr. Posn. 1858 p. 28 | *ἄλαισι δ' ἔξω* Steinhartus progr. Portens. saec. 1843 p. 7 | 606 *χρῇς* Wunderus emend. in Trach. p. 16 Bergkius ind. lect. Marburg. 1848 p. V: *χρῆ* Lω | 607 *στόμαλγον* Hartungus | 608 *κακῶν* Σς Eustathius *λόγων* Suidas *ἴδρίας· ἐμπείρους — Σοφοκλῆς 'εἰ γὰρ — λόγων ἴδρις — φύσιν'*

595 *ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένη αὐτῆς κἀκείνην ἐκμειλισσομένη φησίν, ὅτι οὐδὲ νουθετεῖν σε δεῖ· χαλεπαίνεις γὰρ ὡς λοιδορουμένη. τὸν ἔλεγχον οὖν νουθεσίαν ὠνόμασεν.* | 599 *Μοχθηρόν*] *κακόν, ἐπίμωμον* ⟨*GH*⟩. | 604 *πρότερον μὲν πρὸς τὸν χορὸν εἶπε περὶ τῆς καθόδου Ὀρέστου, νῦν δὲ πρὸς τὸ ἀνελεῖν τὴν ὑποψίαν φησὶν 'ἔπρασσον ἄν'* ⟨*GH*⟩. | 607 *Στόμαργον*] *φλύαρον* ⟨*Suidas*⟩. | *Εἴτε στόμαργον*] *εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδής, ὡς φῄς, οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία σου* ⟨*σοι H*⟩ *φανήσομαι.* | *ζηλῶ σε, φησίν· ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτως κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ.* | 609 * *Eustathius ad Hom. Od. ω, 506 p. 1969 καταισχύνει τις γένος, ὅτε*

ΧΟ. ὁρῶ μένος πνέουσαν· εἰ δὲ † σὺν δίκῃ
ξύνεστι †, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.
ΚΛ. ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισεν,
καὶ ταῦτα τηλικοῦτος; ἆρά σοι δοκεῖ
χωρεῖν ἂν ἐς πᾶν ἔργον αἰσχύνης ἄτερ;
ΗΛ. εὖ νυν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὁθούνεκα
ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
ΚΛ. ὦ θρέμμ' ἀναιδές, ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ.
ΗΛ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.
ΚΛ. ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛ. ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρει, μεθεῖσά μοι

614 τηλικούτωσ L τηλικοῦτοσ ⊔ | ἆρα Ll ἆρ' οὐ ⊔ρω | 615 ἐς Dindorfius: εἰς Lω | 616 νυν Dindorfius: νῦν Lω | 618 προσεικότα ς: προσηκότα Lg Suidas ἔξωρα προσήκοντα pς | 622 ἔπηι L | 623 ποιεῖ L ι eras. ⊔ | 624 ποεῖσ L | 626 οὔ μάτην L οὐ μὰ τήν ⊔ω | δεσποίναν (να in litura) L | μὰ τὴν ἄνασσαν Ἄρτεμιν ποίνην θράσους Hartungus | 628 ἐκφέρηι L

κατ' ἀρετὴν ἀνόμοιος, τοῖς προγόνοις ἐκβαίνει. ἐντεῦθεν τὸ τραγικὸν ἐρρέθη ἀντιστρόφως κατά τι σκῶμμα τὸ 'εἰ — φύσιν'. ὡς γὰρ παῖς ἐκβὰς ἀγαθὸς οὐ καταισχύνει ἀγαθοὺς γονεῖς, οὕτως οὐδὲ τοὺς φαύλους παῖς κακῶν ἴδρις κατ' ἐκείνους γενόμενος. * | 610 Ὁρῶ μένος πνέουσαν] ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις φησίν 'ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, τούτου [τοῦ μένους] φροντίδα οὐκέτι ὁρῶ γινομένην ὑπό τινος'. εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν· ἀντιλαμβανομένης οὖν ἐκείνης τοῦ λόγου, φησίν· ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος'; | 611 ἢ ἐν τῇ Κλυταιμνήστρᾳ ἢ ἐν τῇ Ἠλέκτρᾳ. οὐ γὰρ φροντίζει αὕτη καὶ ἐὰν τὰ δίκαια φῇ ἡ Ἠλέκτρα ὅπως περιποιήσῃ καὶ ἐπακοῦσῃ αὐτῆς ⟨G⟩. | Οὐκέτ' εἰσορῶ] ἀντὶ τοῦ οὐκ ἐννοῶ. | 614 Καὶ ταῦτα τηλικοῦτος] ὑπὲρ ἐπιτάσεως· ὅτι εἰ καὶ δοίη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταῦτα παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ. | 615 Αἰσχύνης ἄτερ] ἀντὶ τοῦ ἀναισχύντως. | 618 κἀγώ, φησίν, αἰσθάνομαι ἐπονείδιστα πράσσουσα καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν. | 620 ἐμφαντικώτερον τὸ ἐξαναγκάζει με διὰ τῆς προθέσεως. | 622 Ὦ θρέμμ' ἀναιδὲς] τοῦτο ὅμοιον ἐστὶ τῷ ⟨616⟩ 'εὖ νῦν ἐπίστω' τοῖς ἑξῆς. | Ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη] ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν ταῦτα φησὶν ἡ Κλυταιμνήστρα. | 627 ⟨πιθανῶς ἐπὶ τῶν ἀγρῶν ⟨G τὸν ἀγρόν ⊔⟩ ἔφη τὸν Αἴγισθον ⟨313⟩, ὑπὲρ τοῦ παρρησίαν δοθῆναι τῇ κόρῃ ⊔⟩.

λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν.
ΚΛ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛ. ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛ. ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ἃ νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς παρούσης τῆσδε πλησίας ἐμοί,
μὴ σὺν φθόνῳ τε καὶ παλιγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα,
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες·
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες

631 σύγ L σοί γ' ⊔ | 636 ὧν pς | 641 παλιγλώσσῳ Meinekius philol. XII p. 602 ⟨Hesychius παλιγλώσσῳ· βλασφήμῳ⟩: ποι γλώσσῳ L πολυγλώσσῳ ⊔ω | 642 εἰσ L | 644 τῇδε νυκτί ς | 646 πέφυκεν Σ

630 Οὔκουν ἐάσεις] οὐκ ἐμμενεῖς οἷς πρότερον εἶπας· ἔφη γάρ ⟨556⟩ 'καὶ μὴν ἐφίημι'. | πιθανῶς δέ· οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον. | 632 Ἐῶ, κελεύω] δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν· διὸ οὐ ποιεῖται πλείονας ἀντιρρήσεις. | 634 Ἔπαιρε δὴ σύ] πρὸς τὴν θεράπαιναν φησί. | Θύματα δὲ θυμιάματα. | 635 Πάγκαρπα] ὡς ἐπίπαν δὲ ὄσπρια· ταῦτα γὰρ ἔθυον τοῖς θεοῖς. | 637 Προστατήριε] ὅτι πρὸ τῶν θυρῶν ἵδρυται. ⟨Photius προστατήριος Ἀπόλλων, ἐπεὶ πρὸ τῶν θυρῶν αὐτὸν ἱδρύοντο. Σοφοκλῆς. Hesychius προστατήριος· τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο.⟩ | 638 Οὐ γὰρ ἐν φίλοις] οὐκ εἰς τὸν χορὸν ἀποτείνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν. | 642 Σπείρῃ ματαίαν] τὸ ματαίαν οὐκ ἔστι σπευδῆ, ἀλλ' ἀνωφελῆ· τί γὰρ πράξοι τοὺς κρατοῦντας διαβάλλουσα; | Ματαίαν] κενήν, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πράξαι. | Βάξιν] λόγον. | 643 Ἀλλ' ὧδ' ἄκουε] οὕτως ἐμοῦ λεγούσης. τῇδε γὰρ ἀντὶ τοῦ τούτῳ τρόπῳ. | 645 Δισσῶν ὀνείρων] ἢ διπλῆν ἐχόντων φύσιν, ὡς καὶ Ὅμηρος ⟨Od. τ, 562⟩ 'δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων'. δύναται δὲ τὸ δισσῶν καὶ ἀριθμὸν ἐμφαίνειν ⟨δύναται — ἐμφαίνειν om. G⟩, ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης καὶ τὸ μὲν ἓν φάσμα ἡγησαμένης εἶναι, ὑπὲρ ου καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν Χρυσόθεμιν· τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ Ἀπόλλωνι, ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα, οὐδὲ πρὸς τὸν Ἀπόλλωνα. ἢ δισσῶν, τῶν ἀμφιβόλων καὶ δισσοποιῶν· ἔλυσε δὲ αὐτὸ εἰποῦσα· 'εἰ μὲν πέφυκεν ἐσθλά, δὸς τελεσφόρα· εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες'.

δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς,
ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν ἀβλαβεῖ βίῳ
δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν
εὐημεροῦσαν καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν ἡ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων
δὸς πᾶσιν ἡμῖν ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα καὶ σιωπώσης ἐμοῦ
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
[τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.]
ΠΑΙ. ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ. τάδ' ἐστίν, ὦ ξέν'. αὐτὸς ἤκασας καλῶς.
ΠΑΙ. ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟ. μάλιστα πάντων· ἥδε σοι κείνη πάρα.
ΠΑΙ. ὦ χαῖρ', ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ. ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου

649 ἐφ..ς L ἐφεισ l ἐφῇς Lω | ἐκβαλεῖν μ' ἐφῇς s | 650 ἀεί s: αἰεί Lps | 651 ἀμφ' ἔπειν L ἀμφέπειν L | 653 εὐημεροῦσαν L εὐημεροῦσιν L | 654 μὴ προσστῇ τις ἢ Burgesius ad Eurip. Troad. p. 157 | 659 πᾶνθ' L πάνθ' L | ὁρᾶν L | 662 ἤκασας Brunckius : εἴκασας Lω | 663 τήνδε γ' εἰκάζων Schaeferus

650 *Ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν*] τὸ ὅλον ὑπὲρ τοῦ Αἰγίσθου εὔχεται· διὰ δὲ τοῦ πληθυντικοῦ τοῖς φίλοις τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν. | 652 *Φίλοισί τε ξυνοῦσαν*] ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν ἀπὸ κοινοῦ λαμβανόμενον· φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν. | τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμέ, ἢ ἀπ' ἐμοῦ. | 653 *Εὐημεροῦσαν*] ἑκάστη ἡμέρᾳ εὐδαιμονοῦσαν ἢ ⟨add. G⟩ εὖ διάγουσαν ⟨Suidas⟩. | 657 τὰ περὶ τῆς τελευτῆς Ὀρέστου ἔοικεν εὔχεσθαι. | *Τὰ δ' ἄλλα πάντα*] ζητοῦσι διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέστου, ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη. ῥητέον οὖν, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, οὐδὲν περὶ αὐτοῦ ἀρᾶται ⟨οὐδὲν — ἀρᾶται add. G⟩, τότε δὲ ὡς κατὰ ἀποθανόντος παρρησιάζεται ἄφοβος γενομένη. | 660 *Ξέναι γυναῖκες*] ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τοῦ θανάτου Ὀρέστου. τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστίν, οὔτε ἀποικτιζομένου ⟨ὑποκρινομένου G⟩ παντάπασιν, οὔτε ἡδομένου, ἀλλ' ὡς ξένου. εὐκαίρως δὲ ἥκει ἔξω οὐσῶν ἀμφοτέρων· πρῶτον , ἵνα μὴ δισσολογοίη πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων. πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν. | 663 * Suidas *Ἐπεικάζω· στοχάζομαι. Σοφοκλῆς 'ἦ — κυρῶ'.* * | 664 *Πρέπει γὰρ ὡς τύραννος*] στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων. | 668 *Ἐδεξάμην*] λείπει ἡ ἀπό· ἀπεδεξάμην.

πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλεν βροτῶν.
ΠΑΙ. Φανοτεὺς ὁ Φωκεὺς πρᾶγμα πορσύνων μέγα.
ΚΛ. τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρός, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙ. τέθνηκ' Ὀρέστης· ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛ. οἲ 'γὼ τάλαιν', ὅλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ. τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑΙ. θανόντ' Ὀρέστην νῦν τε καὶ πάλαι λέγω.
ΗΛ. ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.
ΚΛ. συ μὲν τὰ σαύτης πρᾶσσ', ἐμοὶ δὲ σύ, ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;
ΠΑΙ. κἀπεμπόμην πρὸς ταῦτα καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν ἐς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος Δελφικῶν ἄθλων χάριν,
ὅτ' ἦσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας·

669 σ' om. L add. Lω | ἀπέστειλε Lp | 674 ἐγώ L | 676 καὶ πάλιν λέγω ls γρ. καὶ τότ' ἐννέπω L | 681 ἐς Dindorfius: εἰς Lω | κοινόν Thomas Magister p. 286 R. πρόσχημα | 683 ὀρθρίων Faber agon. I, 30 | 684 δρόμον ls: δρόμου Lp

670 * *Eustathius ad Hom. Il. B, 520 p. 574* ὁ δὲ Πανοπεὺς ἀπὸ Πανοπέως ὠνόμασται, υἱοῦ Φώκου. ἕτεροι δὲ Πανόπην μὲν γράφουσι τὴν πόλιν, Πανοπέα δὲ τὸν αὐτῆς πολίτην, ὡς ἐν τοῖς ἐθνικοῖς ⟨*Steph. Byz.* Πανόπη⟩ γράφεται. ζήτει δὲ καὶ τὸ Σοφοκλῆν εἰπόντα Φανοτεὺς ὁ Φωκεύς· φασὶ γὰρ οἱ παλαιοὶ ἐκεῖ τινὰ χρήσιμα τοῖς ἐνταῦθα. * | 675 *Τί φῄς, τί φῄς*] οἱ ἡδέος ἀκούοντες λόγου, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται. | *Μὴ ταύτης κλύε*] οἷον, μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἐξῆς. ⟨τοῦτο δὲ [φοβηθῆναι] λέγει ἵνα μὴ διὰ ταύτην φοβηθείη εἰπεῖν καὶ τὰ ἐξῆς ⟨add. G⟩. | 676 * *Eustathius ad Hom. Il. Θ, 102 p. 702* τὸ πάλαι — οὐκ ἀεὶ μακρὸν χρόνον σημαίνει ἀλλ' ἔστιν οὗ καὶ πρόσφατον ἀττικῶς, ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ ἀλλαχοῦ τε καὶ ἐν τῷ 'νῦν τε καὶ πάλαι λέγω'. νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι, πάλαι δὲ τὸ ἐν τῷ ἀνωτέρω ἐκεῖ προσεχεῖ στίχῳ ⟨*cf. Crameri anecd. Paris. III p. 32*⟩. | 679 *Τῷ τρόπῳ διόλλυται*] ἴδιον καὶ τοῦτο τῶν ἡδομένων· μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται. ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων ἑλληνικοῦ. | 681 ⟨*cf. Aristoteles poet.* 24 προαιρεῖσθαί τε δεῖ ἀδύνατα εἰκότα μᾶλλον ἢ δύνατα ἀπίθανα· τούς τε λόγους μὴ συνίστασθαι ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον, εἰ δὲ μή, ἔξω τοῦ μυθεύματος, ὥσπερ Οἰδίπους τὸ μὴ εἰδέναι πῶς ὁ Λάιος ἀπέθανεν, ἀλλὰ μὴ ἐν τῷ δράματι, ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ τὰ Πύθια ἀπαγγέλλοντες, ἢ ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων.⟩ | 682 οὔπω ἦν ἐπὶ Ὀρέστου ὁ πυθικὸς ἀγών. ⟨*Suidas* πρόσχημα παρακάλυμμα. Σοφοκλῆς 'πρόσχημ' — χάριν' ὡς οὔπω ὄντος τοῦ γυμνικοῦ ἀγῶνος.⟩

δρόμου δ' ἰσώσας τἀφέσει τὰ τέρματα
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν παύροισι πολλά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη·
ἓν δ' ἴσθ' · ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς,
[δρόμων διαύλων πένταθλ' ἃ νομίζεται]
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κοινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντος γόνος.
καὶ ταῦτα μὲν τοιαῦθ' · ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν ἡλίου τέλλοντος ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.

686 δρόμῳ ut videtur L δρόμου Lω δρόμον δ' ἰσώσας τῇ φύσει Bergkius | τἀφέσει Musgravius ad Eurip. Phoen. 1135: τῇ φύσει LΣω Suidas τἀνυσει Buchholzius emend. Soph. I p. 13 | 686 et 687 post 695 poni iubet Nauckius | 688 ἐν παύροισι πολλά Bergkius Nauckius: πολλοῖσι παῦρα Lω | 689 οὐκ οἶδα· τοῖα τ' ἀνδρός Schneidewinus | τοιάδ' ς | 690 βραβῆς L: βραβεῖς Lς | 691 del. Lachmannus de mens. trag. p. 45 Hermannus opp. VI, 1 p. 13 διαύλων — τούτων del. Nauckius | πεντάεθλ' pς ἆθλ' ἅπερ Porsonus tracts p. 221 ἆθλα χά Hartungus πενταέθλων ὧν νόμος Reiskius Matthiae quaest. Soph. p. 58 πέντε θ' ὧν νομίζεται ἄθλων ἐνεγκών Hermannus δρόμων διαύλων ἅλματος δίσκου πάλης Ahrensius progr. Coburg. 1859 p. 15 | ὅσους γὰρ εἰσεκηρυξαν βραβῆς ἄγωνας ἄλλους, πεντάεθλ' ἃ Froehlichius | 694 κοινόν Schneidewinus: κλεινόν Lω | 695 γόνος Nauckius: ποτε Lω | 697 δύναιτ' post ι duabus vel tribus litteris erasis L | δύναιτ' ἄρ' Hartungus

686 *Δρόμου δ' ἰσώσας*] οἷον, οὐκ ἐλλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν: ⟨κατὰ — ἔτυχεν om. Suidas⟩ | ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ. | ἀντὶ τοῦ, ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτως καὶ τῷ ἔργῳ ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ τῷ ἔργῳ ⟨Suidas ἀλλ' — ἔργῳ om. G⟩. τινὲς δολιχὸν φασὶν ἀγωνίσασθαι Ὀρέστην, ὃς ἐστιν κ΄ στάδια, κ΄ ἐτῶν ὄντα, ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο. ⟨τινές — ἐποιήσατο L in marg.⟩ | *Δρόμου*] τοῦ ἐκ ποδὸς δρόμου. | 690 * Suidas βραβεῖς· οἱ ἐν τοῖς ἄγωσι κήρυκες. Σοφοκλῆς 'ὅσων — νομίζεται'. * | 691 *Δρόμων διαύλων πένταθλα*] ⟨πένθ' add. Dindorfius praef. schol. in Hom. Od. I p. VII⟩ ἅλμα, δίσκον, ἄκοντα, δρόμον, πάλην· ταῦτα ⟨ταῦτ' Dindorfius⟩ ἐν μιᾷ τις ἠγωνίζετο ⟨ἠγωνίζεθ' Dindorfius⟩ ἡμέρᾳ. ⟨Eustathius ad Hom. Il. Ψ, 621 p. 1320 οἱ μέντοι τὰ περὶ ἱερῶν ἀγώνων ἐπισκεψάμενοι οὕτως ἐμμέτρως τοὺς ἄθλους μετροῦσιν 'ἅλμα ποδῶν, δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωὴ καὶ δρόμος ἠδὲ πάλη, μία δ' ἔπλετο πᾶσι τελευτή'. καὶ τοῦτό ἐστι φασὶ πένταθλον. ἕτεροι δὲ οὕτως 'ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος'. schol. Plat. amat. p. 135 E πένταθλος οὗτος τοῖς νέοις ἀγωνία πάλη, σίγυννος, ἅλμα, δίσκος καὶ δρόμος.⟩ | 696 *Ὅταν δέ τις θεῶν*] ὅμοιον τοῦτῳ τὸ πινδαρικόν ⟨pyth. II, 50⟩ 'θεὸς ὃ καὶ πτερόεντ' ἀετὸν κίχε καὶ θαλασσαῖον παραμείβεται δελφῖνα'.

εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων
ἵππους, ὃ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ἵν' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήρους ἔπηλαν καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ἧξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ' · ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι

703 θεσσαλόσ L θεσσαλάσ Lω | 706 αἰνειᾶν L | 707 ἔννατος ς ἔνατος δ' ς | 709 ἵν' Nauckius: ὅθ' Lω | βραβῆσ L βραβεῖσ Lω | 710 κλήρους Wunderus: κλήροις Lω | 711 τοῖς δ' ἅμα Froehlichius | 713 ἐκ δέ ς | 714 ἁρμάτων L | 715 ἀμμεμιγμένοι Dindorfius

701 *φιλοτίμως διὰ πιθανότητα ταῦτα ἐπεξεργάζεται.* | 702 *Ζυγωτῶν*] οἷον ἀζύγων. | 703 *Κἀκεῖνος*] ὁ Ὀρέστης. | 706 *Λεύκιππος Αἰνειᾶν*] ἐμοὶ δοκεῖ ὄνομα εἶναι· οὐδὲν γὰρ ἄτοπον ἐντίθεται· τινὲς δὲ ἐπίθετον. ὄνομα γὰρ κύριον οὐ προτέθεικεν πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον· ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται. ⟨Eustathius ad Hom. Il. E, 77 p. 524 Ἡρωδιανὸς δὲ ἐν τῷ περὶ τοῦ ὡς ἐρρέθη κατὰ τὸν Φίλιππον πνευματισμοῦ νοήσας ἑτεροῖόν τι φησίν ὅτι Φίλιππον μὲν τὸ κύριον ἀξιοῦσι οἱ γραμματικοί ψιλῶς λέγεσθαι, δασέως δὲ τὸ ἐπίθετον, ἀγνοοῦντες ὅτι καθ' ἓν ἑκάτερα δύνανται εἶναι. καὶ γὰρ λεύκιππος λέγεται παρὰ Στησιχόρῳ ἐπιθετικῶς· ἀλλὰ καὶ Λεύκιππος ὀνομάζεται ὁμοίως ὁ Φοίβης καὶ Ἑλαείρας πατήρ· ὥστε ψιλοὶ αὐτὸς ἐν ἀμφοῖν τούτοιν τοῦ ἵππος τὴν ἄρχουσαν καὶ οὐκ ἐν μόνῳ τῷ κυρίῳ χρῆσις δὲ τοῦ ἐπιθετικοῦ λευκίππου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ 'λεύκιππος Αἰνιὰν γένος', ὃ καθὰ ἐκ τοῦ εἶμα λευχείμων, οὕτω καὶ αὐτὸ ἐκ τοῦ ἵππος λευχιππος ἂν ἦν κοινότερον. ⟨cf. ad Il. A, 197 p. 83.⟩ | οἱ δὲ Αἰνιᾶνες ⟨G αἰνειᾶν L⟩ τῶν Θεσπρωτῶν ἢ Θρᾳκῶν. Ὅμηρος ⟨Il. B, 749⟩ 'τῷ δ' Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε Περαιβοί'. ⟨Eustathius ad Homer. Il. B, 749 p. 335 εἰ δὲ κατὰ τὴν ἀναγραφὴν τῶν ἐθνικῶν ἦν Αἶνος Γουνέως ἀδελφὸς καὶ Αἶνος πόλις Θεσσαλίας, εἴη ἂν εἰκὸς ἐντεῦθεν ποθὲν τοὺς Αἰνιᾶνας κληθῆναι τὸ ἔθνος. οἱ χρῆσις διὰ τῆς ἐν ἀρχῇ διφθόγγου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ 'Λεύκιππος Αἰνιὰν γένος' καὶ 'ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι πῶλοι', ἔνθα οἱ γράφοντες διὰ δύο διφθόγγων τὸ Αἰνείαν ἐοίκασι παρακούειν ὡς παντελῶς ἔψευσται.⟩ | 707 προσχαρίζεται Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων. | 716 *Ὡς ὑπερβάλοι χνόας τις αὐτῶν*] οἷον πρῶτοι τοῦ δρόμου γενέσθαι. χνόας δὲ τὰς τοῦ ἄξονος σύριγγας· [καὶ τὰ ἱππικὰ φρυάγματα] ⟨om. Suidas⟩ ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξο-

χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιόν τ' ἀνεὶς
σειραῖον ἵππον εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον
μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθρανε κἀνέπιπτε, πᾶν δ' ἐπίμπλατο
ναναγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὔξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος

717 ἄλλων Musgravius | 719 ἀφρισμὸν εἰσέβαλλον Matthiae quaestt. Soph. p. 65 | εἰσ ἔβαλλον L | 720 αὐτὴν ἐσχάτην L (super ην et ην duae litterae erasae) | ὄχων Froehlichius | 721 ἔχριπτ' Lgς ἔχριμπτ' Lς ἔχριμπτεν εὖ Burgesius ad Eurip. Troad. p. XXII | δεξιὸν ἀνείς Lς δεξιὸν δ' ἀνείς Lp δεξιὸν τ' ἀνείς ς | 720. 721. 722 post 733 ponit Burgesius | 723 ἕστασαν L ἕστασαν L | 724. 725. 726 transponit Burgesius | 724 αἰνεῖανος L | Plutarchus de curios. 12 p. 521 C νῦν δὲ συμβαίνει τὸ τοῦ Σοφοκλέους 'ἔπειτα — φοροῦσιν'. | 726 post 723 ponit Passovius | 729 κἂν ἔπιπτε Doederleinius | 730 Κρισαῖον Bruncknius: Κρισσαῖον Lω

νος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται. ⟨σύριγξ — καλεῖται Suidas σύριγξ.⟩ λείπει δὲ τὸ ἐλαύνων ⟨λείπει — ἐλαύνων om. Suidas⟩. | τὸ δὲ χνόας βαρέως· τὰ γὰρ εἰς η καθαρὸν δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται· χνόη, φθόη, χλόη· τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ. ⟨Suidas χνόας. ex Herodiano sumptum monuit Dindorfius. cf. Arcadius p. 103, 14.⟩ | Ὑπερβάλοι] ὑπεκδράμοι. | 717 Φρυάγματα] φυσήματα, πνεύματα. | 720 Στήλην] τὸν λίθον τὸν καμπτῆρα ⟨Suidas⟩. | 721 Ἔχριμπτ' ἀεί] ὅ ἐστι, προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ. ⟨Suidas ἔχριμπτ' ἀεί, ἀεὶ ἐπλησίαζε.⟩ | Σύριγγα] τὴν ὀπὴν τοῦ τροχοῦ. | 722 Σειραῖον ἵππον] τὸν ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι ἀριστερόν ⟨Suidas⟩. | 724 Ἄστομοι] σκληρόστομοι ⟨Suidas⟩. | 725 Ἐκ δ' ὑποστροφῆς] ἐξ ὑπαντήσεως ἐπετίναξαν ἐκείνων ὑποστρεφόντων. | 727 Βαρκαίοις ὄχοις] τοῖς λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαὶς καλουμένη. ⟨Suidas. Hesychius Βαρκαίοις ὄχοις. λιβυκοῖς. οὗτοι γὰρ ἐσπούδαζον περὶ ἱπποτροφίαν. φασὶν αὐτοὺς καὶ πρώτους ἅρμα ζεῦξαι διδαχθέντας ὑπὸ Ποσειδῶνος, τὸ δὲ ἡνιοχεῖν ὑπὸ Ἀθηνᾶς, ὡς Μνασέας ἐν τοῖς περὶ Λιβύης. (cf. Stephanus Byz. Βάρκη· πόλις Λιβύης, ἥτις καὶ Πτολεμαΐς. — καὶ Βαρκαῖον τὸν Λίβυν φασι. 'Βαρκαῖον αἶπος'. οἱ τὰς ἱπποτροφίας παρὰ Ποσειδῶνος, ἡνιοχεῖν δὲ παρὰ Ἀθηνᾶς ἐμαθον⟩ etymologicum magnum p. 188 Βαρκαίοις ὄχοις· λιβυκοῖς, ἀπὸ Βάρκης πόλεως ἑλληνικῆς· καί ἐστιν ἀπὸ μέρους. | 730 Ναυαγίων] τῶν πτωμάτων ⟨Suidas⟩. | 731 Γνοὺς δὲ οὐξ Ἀθηνῶν δεινός] δεινὸς

ἔξω παρασπᾷ κἀνοκωχεύει παρεὶς
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μέν ὑστέρας ἔχων
πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων·
ὅπως δ' ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὠτῶν κέλαδον ἐνδείσας θοαῖς
πώλοις διώκει, κἀξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἕτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου λανθάνει στήλην ἄκραν
παίσας· ἔθρανσε δ' ἄξονος μέσας χνόας
κἄξ ἀντύγων ὤλισθε, σὺν δ' ἐλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἵ' ἔργα δράσας οἷα λαγχάνει κακά,

732 περισπᾷ Suidas περισπᾶν, παρασπᾷ Suidas δεινά | κἀνοκωχεύει Dindorfius auctore Cobeto memnos. V p. 189: κανακωχεύει Lω | 733 ἐφίππων L ἔφιππον L | 734 εὔστοχος Burgesius | ὑστέρας ἔχων L ὑστέρας δ' ἔχων Lpω | 735 τὸ τότ' ἀνέλπιστον φέρων Burgesius | 736 ὅπως δ' ὁρᾷ Lg: ὅδ' ὡς δ' ὁρᾷ Lpω | ἐνλελειμένον L ἐλλελειμένον Lω | 738 κἀξισώσαντες ω | 739 ὅδ' ἄλλοτ' Martinus | 741 ἀσφαλής Nauckius | 742 ὠρθοῦτ' L ὠρθοῦθ' Lω | 743 ἔπειτα δ' ἕλκων Froehlichius ἔπειτ' ἀνέλκων Arndtius ἔπειτα τανύων Toepferus comm. crit. spec. p. 24 ἔπειτ' ἐρύκων Wolffius ἔπειτα τείνων Hartungus ἔπειτ' ἀλεύων Bergkius | 745 ἄξονας L ἄξονος Lω | 746 ὤλισθεν L ὤλισθε Lω | πέδοι Dindorfius | 751 γρ. τυγχάνει L

ἀντὶ τοῦ ἔμπειρος ⟨Suidas δεινά⟩. πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον. | 732 Ἔξω παρασπᾷ] φυλαξάμενος, φησί, τούτοις συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν παρασπᾷ ⟨G περισπᾷ L Suidas περισπᾶν⟩. | Κἀνακωχεύει] ἀνασειράζει, κατέχει· ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει στείλαντες τὰ ἄρμενα ⟨ὀθόνια Suidas⟩ σαλεύωσιν αὐτόθι μὴ διαμαχόμενοι τῷ πνεύματι· μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν· οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα καὶ ὕστερος ἠρέμα ἤλαυνεν ⟨Suidas⟩. | 735 Τῷ τέλει πίστιν φέρων] οἷον, πιστεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται. ⟨Suidas ἤλαυνεν⟩. ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν ⟨Suidas τῷ τέλει⟩. | 738 Κἀξισώσαντε] ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος. | 743 Λύων] χαυνῶν διὰ τὸ συμπεπλέχθαι. | 745 Χνόας] τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ τριβόμενον ὑπὸ τῆς χοινικίδος· εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ ⟨I, 757⟩ 'ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο'.

φορούμενος πρὸς οὐδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων, ἔς τέ νιν διφρηλάται,
μόλις κατασχεθόντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρόν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κέαντες εὐθὺς ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχῃ χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὡς μὲν ἐν λόγῳ
ἀλγεινά, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἶδομεν,
μέγιστα πάντων ὧν ὅπωπ' ἐγὼ κακῶν.
ΧΟ. φεῦ φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
ΚΛ. ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
ξὺ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.
ΠΑΙ. τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
ΚΛ. δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὢν τέκῃ προσγίγνεται.
ΠΑΙ. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛ. οὗτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς φυγὰς
ἀπεξενοῦτο καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἔξῆλθεν, οὐκέτ' εἶδεν· ἐγκαλῶν δέ μοι
φόνους πατρῴους δεὶν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας

754 κατασχεθόντες Dindorfius: κατασχέθοντες Lω | 757 κέαντες Brunckius: κήαντες Lω | ἐνθύς ut videtur L εὐθύς Ew | 758 del. Deventerius de interpolat. in Soph. tr. p. 60 | δειλαίαν σποδόν Hartungus | 760 ἐκλάχοι Llpς: ἐκλάχῃ ς | 761 λόγῳ Llς λόγοις Epgς | 762 ὥσπερ ς | 766—768 l. Suidas ὦ Ζεῦ | 767 γ' ἔχει Froehlichius: δ' ἔχει Lω | 768 τῶν ἐμαυτῆς Seidlerus | 769 ναῦ L νῦν Ew | 769 ἀλγεῖς Nauckius | 770 οὐδὲ L (δ in litura) | οὐδὲ καὶ κακῶς Valckenarius ad Eurip. Phoen. 358 | 771 τέκει L τέκῃ Ew

757 *Καὶ*] τοῦτο δὲ λέγει ὁ ἄγγελος ⟨add. G⟩ ἵνα ἀξιόπιστος εἴη, πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ. | 758 *Μέγιστον σῶμα δειλαίας σποδοῦ*] ἀντὶ αἰτιατικῆς ⟨ἀντίπτωσις add. E⟩. | 766 *ὡς μὲν γυνὴ κεκλῆσποδοῦ*] ἀντὶ αἰτιατικῆς ⟨ἀντίπτωσις add. E⟩. | 766 *ὡς μὲν γυνὴ κεκλῆνηται ἐπὶ τῷ πάθει· πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται·* ⟨Suidas ὦ Ζεῦ⟩ *διὰ δὲ τὸν χορὸν ἀλγεῖν ὑποκρίνεται.*

ἐμὲ στεγάζειν ἡδύν, ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ' ⟨ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα⟩ νῦν δ' ἔκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
ΗΛ. οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζει μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ. οὗτοι σύ· κεῖνος δ' ὡς ἔχει καλῶς ἔχει.
ΗΛ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ. ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.
ΗΛ. ὕβριζε· νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.
ΗΛ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
εἰ τήνδε ~~παύσαις~~ ἐπισχὼν τῆς πολυγλώσσου βοῆς.
ΠΑΙ. οὔκουν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛ. ἧκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πραξᾶς ὦ οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ' ὑμῖν ὡς ἀλγοῦσα κἀδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·

781 ἐμοὶ πελάζειν ἡδύν Reiskius | 783 ἀπηλλάγην Llg Suidas: ἀπήλλαγμαι Epς | 784 ἥδ' ἀεί̈ζως γὰρ βλαβή Burgesius ad Aesch. suppl. p. 216 | 787 οὕνεχ' L οὕνεχ' E | 790 ὑβρίζῃ L | ἆρ' L ἀρ' E | 794 εὐ τυχοῦσα L εὐτυχοῦσα E | 796 ὅπω L ὅπως Ew | 797 φιλεῖν L τυχεῖν Elw | 798 τήνδε παίσαις Wunderus: τήνδ' ἔπαυσας Lω | πεῶσπέρχουσMeinekius philol. XIII p. 551 ⟨Hesychius περισπέκτου ⟨περισπέρχου Musurus⟩ βοῆς ὑπερεπειγούσης⟩ παλιγλώσσου Bergkius | 799 οὐκ οὖν — κυρεῖ; Elmsleius ad Eurip. Bacch. 191 | εὐ L εὖ E | 800 κατ' ἀξίαν ς κατάξι' ἄν Bothius Nauckius | 801 πράξαις ἄν Hennebergerus: πραξείας Lω | οὔτ' ἄν Bergkius | 802 τήν δέ τ' L τήνδε δ' Ew | ἔκτοσθεν ρς | 803 τά. θ eraso υ ut videtur L | 804 ὔμιν Bergkius | 805 κἀπικωκύσαι L | 807 ὦ L

781 *Ὁ προστατῶν χρόνος*] ὁ ἐπιγενόμενος ⟨Suidas⟩. | 785 *Ξύνοικος ἔσομαι*] τοῦτο οἰκονομικῶς. εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις ἀπέκλινεν ἑαυτήν, διελύετο ἂν ἡ ὑπόθεσις.

Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ἔσομαι ξύνοικος, ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν, ἢν κτάνῃ,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.
ΧΟ. ποῦ ποτε κεραυνοὶ Διὸς, ἢ ποῦ φαέθων Ἅλιος, εἰ ταῦτ' ἐφορῶντες
κρύπτουσιν ἕκηλοι;
ΗΛ. ἒ ἒ, αἰαῖ.
ΧΟ. ὦ παῖ, τί δακρύεις;

824—836 = 837—848

809 φρενὸς οἴχηι Lς οἴχηι φρενός ⱷρς | 811 ἥξει L ἥξειν ⱷ | 818 ἔσομαι ξύνοικος Dawesius misc. crit. p. 276: ξύνοικος ἔσομ' Lς ξύνοικος ἔσσομ' ⱷρς ξύνοικος ἔσομαι ς ξύνοικος αὐτοῖς vel ἔτι ξύνοικος vel ξύνοικος εἴσειμ' Hermannus κείνοις ξύνοικος Heimsoethius wiederherst. d. Aesch. p. 211 ξύνοικος ἔνδον Schneidewinus ξυνὴ ξύνοικος Kolsterus philol. V p. 612 στέρξω ξυνοικοῦσ' Kayserus n. iahrb. f. philol. LXVIIII p. 508 ἔσω ξύνοικος Schmidtius n. iahrb. f. phil. suppl. XVII p. 293 ξύνοικος ἕζομ' Hofmannus ztschr. f. oester. gymn. V p. 539 ξύνοικος ἔσομαι μἀλλά Bergkius | 819 ἄφιλον Monkius Bergkius | 821 ἢν θάνω schol. 975 Brunckius | 823 ποῦ — αἰαῖ Electrae continuant Brunckius Hamacherus | 824 ἅλιος ρς: ἀέλιοσ Llς | 826 κατακρύπτουσιν Kayserus act. sem. phil. Heid. p. 59 | 827 αἰαῖ Dindorfius: αἰαῖ L

808 * anon. ars rhet. I p. 457 Sp. κινεῖ δ' ἔλεον καὶ τὸ τοῖς μηκέτ' οὖσι διαλέγεσθαι, ὡς Εὐριπίδης πεποίηκε λέγειν τὴν Ἑκάβην ⟨684 sqq.⟩ καὶ ὁ Σοφοκλῆς τὴν Ἠλέκτραν. *. | 823 Ποῦ ποτε κεραυνοὶ Διός] ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν Ἠλέκτραν ἔλεγεν ⟨173⟩ 'θάρσει μοι, τέκνον, θάρσει· ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς', καὶ τὰ ἑξῆς· νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν καὶ ὅλως ἀμφιβάλλειν, εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴ γε περιορῶσι τοιαῦτα γινόμενα. καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν, τὸν δὲ Δία ὡς πάντων δεσπότην ὄντα. | δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ⟨829⟩ ἀναβλέψαι τε εἰς οὐρανὸν καὶ τὰς χεῖρας ἀνατεῖναι· ὃ δὴ κωλύει ὁ χορὸς ⟨830⟩ 'μηδὲν μέγ' ἀΰσης'. | 826 Κρύπτουσιν ἕκηλοι] οἷον, οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν ⟨Suidas κεραυνοί⟩. | 827 θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν· ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτο μέρος.

ΗΛ. φεῦ.
ΧΟ. μηδὲν μέγ' ἀΰσῃς.
ΗΛ. ἀπολεῖς.
ΧΟ. πῶς;
ΗΛ. εἰ τῶν φανερῶς οἰχομένων εἰς Ἀΐδαν ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ τακομένας μᾶλλον ἐπεμβάσει.
ΧΟ. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις ἕρκεσι κρυφθέντα γυναικῶν·
καὶ νῦν ὑπὸ γαίας
ΗΛ. ἒ ἒ· ἰώ.
ΧΟ. πάμψυχος ἀνάσσει.
ΗΛ. φεῦ.
ΧΟ. φεῦ δῆτ'· ὀλοὰ γὰρ.
ΗΛ. ἐδάμη.

830 ἀΰσεισ L ἀΰσῃσ ⱷω εἴπῃς g | κατά μου Elmsleius ad Soph. Ai. 969 | 836 ἐπεμβάσηι L | 838 ληφθέντα Deventerius de interpol. in Soph. tr. p. 60 | γυναικῶν Brunckius: γυναικῶν ἀπάταις ⱷω κρυφθέντ' ἀπάταισι καί Triclinius | 839 καί del. Kayserus act. sem. phil. Heid. p. 59. | 840 αἰαῖ αἰαῖ Dindorfius | 844 γοῦν Turnebus

830 ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν. | 831 Ἀπολεῖς] δαιμονίως τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ τοῦ χοροῦ ἐπιτιμήσεων ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς, ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων, ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν ὡς ψυχραῖς τοῦτο φησίν. ἀπολεῖς ⟨G ἀποκναίεις L⟩ με, φησίν, ἐν τοῖς ἀθεραπεύτοις με παρηγοροῦσα. | 836 Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων] χρυσοδέτοις, ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ ὅρμου ⟨add. ed. Rom. om. L⟩ δοθέντος Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον. διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. | ἄλλως. τὸ χρυσοδέτοις ἕρκεσιν ἢ ἐπὶ τῶν ἁρμάτων φησίν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις, ἅπερ ἕρκη εἶπεν οἷον περιφράγματα καὶ τείχη, ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος, ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. ἢ χρυσοδέτοις, τῷ ὅρμῳ, ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος· τὸ δὲ ἕρκεσιν, οἷον τοῖς δεσμοῖς καὶ φράγμασιν καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γενομένῃ. τὸ δὲ γυναικῶν ἀπάταις, ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ· ἢ καθόλου τὸν χρυσὸν γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο. | ὁ χορὸς φησὶν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία· τιμὴν δὲ αὐτῷ φησὶν ἔσεσθαι διὰ τὸ μαντεύεσθαι αὐτόν ⟨κατ' ἐνιαυτόν G⟩. | 840 οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους θρηνεῖ ἡ Ἠλέκτρα. | 841 Πάμψυχος ἀνάσσει] ἀντὶ τοῦ πασῶν ψυχῶν ἀνάσσει, αἳ δὴ ἐν χρείᾳ κατεστᾶσι τῆς ἐκείνου μαντικῆς ⟨αἳ — μαντικῆς om. Suidas⟩. ἢ πάμψυχος ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχὴν, ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σώζων ὅ ἐστιν ἀθάνατος ⟨Suidas⟩. | 842 Φεῦ] μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα. | 843 Φεῦ δῆτ' ὀλοὰ γὰρ] ὁ χορὸς συγκατατιθέμενος φησὶν ὅτι 'δικαίως ἀνεβόησας· ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη'. ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός· ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν ἐμβαλὼν τὸ κατὰ τὴν Ἐριφύλην μύθευμα. | 844 Ἐδάμη] ἡ Ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός· ὁ χορὸς δὲ ὡς πυνθανομένης ἐπάγει τὸ ναί.

ΧΟ. ναί.
ΗΛ. οἰδ' οἰδ'· ἐφάνη γὰρ μελέτωρ ἀμφὶ τὸν ἐν πένθει·
ἐμοὶ δ'
οὔτις ἔτ' ἔσθ'· ὃς γὰρ ἔτ' ἦν, φροῦδος ἀναρπασθείς.
ΧΟ. δειλαία δειλαίων κυρεῖς.
ΗΛ. κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ δεινῶν
στυγνῶν τ' ἀχέων — ⏑ –
ΧΟ. εἴδομεν ἃ θρηνεῖς.
ΗΛ. μή μέ νυν μηκέτι
παραγάγῃς, ἵν' οὐ
ΧΟ. τί φῄς;
ΗΛ. πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων

849—859 = 860—870

846 *ἐφάνη μητρολέτωρ* Nauckius | *πένθει* post *ι* littera erasa ut videtur L | 849 *δειλάα δειλάων* Dindorfius | 851 *πανδύρτῳ* Nauckius Bergkius | *παλλύμῳ* Meinekius philol. XIII p. 552 *πανθρήνῳ* Nauckius *πάμμηνος* Bergkius | *δεινῶν* Dindorfius: *πολλῶν δεινῶν* Lω | 852 *ἀχαίων* L *ἀχέων* Ew del. Hermannus | *αἰῶνι* add. Hermannus *αἰκιῶν* Musgravius *ναίουσα* Steinhartus progr. Portensi saec. 1843 p. 7 | *πολλῶν δεινῶν στυγνῶν τ' ἔλαχ' αἰῶν* Bergkius | 853 *ἃ θρηνεῖς* Erfurdtius Froehlichius: *ἃ θροεῖς* Lω *ᾗ θροεῖς* Seidlerus de vss. dochm. p. 409 *ἀνθρηνεῖς* Martinus progr. Posn. 1858 p. 28 *αὐθαδεῖς* Kolsterus philol. V p. 614 | 854 *μέ νυν* Brunckius: *με νῦν* Lω | *μηκέτι* L | 856 *τί φῄς; αὐδᾷς δὲ ποῖον* Lω *αὐδᾷς δὲ ποῖον* del. Triclinius *τί φῂς αὖ* Bergkius

846 *Οἰδ', οἰδ'· ἐφάνη*] *οἶδα ὅτι ἐδάμη· ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ, τουτέστι* ⟨*τοῦ — τουτέστι om. Suidas*⟩ *ὁ τιμωρὸς τοῦ πατρός·* ⟨*Suidas*⟩ *ἐμοὶ δὲ οὐδεὶς πάρεστιν ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν χορὸς παρέβαλεν τὸν Ἀγαμέμνονα τῷ Ἀμφιάρεῳ, ἵνα Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρός, ὅτι τεύξεται τιμῆς πολλῆς* ⟨*G τινος L*⟩ *ἡ δὲ φησὶν ὅτι Ἀμφιάρεως ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχεν τιμωρίας. πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ 'ἐμοὶ δ' οὔτις'.* | 846 *Μελέτωρ*] *φροντιστής, ᾧ ἐπιμελὲς γέγονεν μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον.* | *Ἀμφὶ τὸν ἐν πένθει*] *τὸν Ἀμφιάραον.* | 849 *Δειλαία δειλαίων*] *καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἴς τι παραχωρεῖν τοῖς λυπουμένοις καὶ συγχωρεῖν αὐτοῖς κλαίειν ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς.* | 850 *Κἀγὼ τοῦδ' ἴστωρ*] *κἀγὼ τούτου ἐπιστήμων εἰμὶ ὅτι ταλαίπωρός εἰμι* ⟨*Suidas ἴστωρ*⟩. | *Κἀγὼ τοῦδ' ἴστωρ*] *οἶδα, φησίν, ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων.* | *πανσύρτῳ δέ, τῷ πάντα σύροντι τὰ κακά· ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. παμμήνῳ δὲ, τῷ πολυχρονίῳ καὶ διηνεκεῖ.* | *δειλαία οὖν εἰμὶ* [*οἷον,*] *κατ' αὐτὸ τοῦτο, καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν* ⟨*Suidas*⟩. | 854 *Μή με νῦν μηκέτι*] *μηκέτι οὖν με, φησί, παρηγορήσητε, ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαί, αἱ ἀπὸ τῶν ἀδελφῶν.* | 855 *Παραγάγῃς*] *παρηγορήσῃς* ⟨*Suidas*⟩. | 856 *Διὰ μέσου τὸ 'τί φῄς';* | 858 *κοινοτόκων*] *τινὲς τῶν πᾶσι κοινῶν.* | *κοινοτόκων δὲ τῶν ἀπ' ἀμφοῖν τῶν γονέων. διὰ δὲ τοῦ εὐπατριδᾶν ἠὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον, οἷον εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος.* | *ἢ κοινοτόκων, τῶν ἀδελφικῶν, τῶν τοῦ*

εὐπατρίδων τ' ἀρωγαί.
ΧΟ. πᾶσι θνατοῖς ἔφυ μόρος.
ΗΛ. ἦ καὶ χαλαργοῖς ἐν ἀμίλλαις
οὕτως, ὡς κείνῳ δυστάνῳ,
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
ΧΟ. ἄσκοπος ἃ λώβα.
ΗΛ. πῶς γὰρ οὐκ; εἰ ξένος
ἄτερ ἐμᾶν χερῶν
ΧΟ. παπαῖ.
ΗΛ. κέκευθεν, οὔτε του τάφου ἀντιάσας
οὔτε γόων παρ' ἡμῶν.
ΧΡ. ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
ΗΛ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
ΧΡ. πάρεστ' Ὀρέστης ἡμίν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ', ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.

859 *εὐπατρίδων* Nevius: *εὐπατριδᾶν* Lpς *εὐπατριδῶν* ς | *τ'* om. Suidas | *ἀρωγαί* Σg: *ἀρωγοί* Lω Suidas | 860 *πᾶσιν* L | 861 *χαλάργοις* Dindorfius | *ἀμιλλαῖσ* L *ἀμίλλαισ* E | 863 *ἐγκῦρσαι* Dindorfius: *ἐγκύσαι* L *ἐγκύρσαι* Ew | 864 *ἄσπετος* Musgravius | 868 *παπαί* L *παπαῖ* E *παπαῖ φεῦ* Bergkius | 869 *τοῦ* L *του* E | 871 *σοι* Brunckius | *διώκωμαι* L *διώκομαι* E | 876 *ἴασιν* L (eraso σ ut videtur post *ι*) *ἴασις* Eς *ἴασιν* lpς | *ἰδεῖν* L supr. *ἔτι* E | *ἴασις οὐκ ἔνεστ' ἔτι* ς *ἴασιν οὐκ ἔτ' ἔστ' ἰδεῖν* Wolffius de schol. Laur. p. 206 Schneidewinus | *ἡμιν* L Bergkius

αὐτοῦ πατρὸς κεχοινωνηκότων. | 861 *Ἦ καὶ χαλαργοῖς*] *τοῖς λευκόποσιν ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς· χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν* ⟨*Suidas χηλαργοῖς*⟩. | *εἰπόντος δὲ τοῦ χοροῦ 'πᾶσι θνητοῖς ἔφυ μόρος' ἀντιτίθησιν ἡ Ἠλέκτρα 'ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς';* | 863 *τμητοῖς δὲ ὁλκοῖς τοῖς ἡμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τῶν ἡμάντων ἐν οἷς εἱλκύσθη* ⟨*Ὀρέστης πεσὼν ἐκ τοῦ ἅρματος add. Suidas*⟩. | *τμητοῖς ὁλκοῖς, τμητοῖς λώροις* ⟨*Suidas*⟩. | 864 *Ἄσκοπος ἃ λώβα*] *ἀπροόρατος ὁ θάνατος* ⟨*Suidas*⟩. | 865 *Πῶς γὰρ οὐκ; εἰ ξένος*] *τοῦ χοροῦ εἰπόντος ἀπροειδὴς ἡ κατὰ τὸν ἀγῶνα* ⟨*λώβη οὐκ; εἰ ξένος*] *τοῦ χοροῦ εἰπόντος ἀπροειδὴς ἡ κατὰ τὸν ἀγῶνα add. G*⟩, *ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ τέθνηκεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν καὶ ἐμοῦ χωρίς.* | 868 *Κέκευθεν*] *ἀντὶ τοῦ κρύπτεται.* | 871 *Ὑφ' ἡδονῆς τοι*] *ἡ Χρυσόθεμις παραγέγονεν, τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις Ἠλέκτρας γένηται.* | 872 *λείπει ἡ ὑπέρ· ὑπὲρ τοῦ σὺν τάχει μολεῖν.* | 875 *Τῶν ἐμῶν σὺ πημάτων*] *τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις, τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις· κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον* ⟨*Suidas ἴασις*⟩. | 878 *Κλύουσ' ἐναργῶς*] *ἐπὶ τοῦ κλύουσα πρὸς βραχὺ διαστικτέον, ἵν' ᾖ 'πάρεστ' ἐναργῶς, ἴσθι τοῦτο κλύουσα ἐμοῦ'.*

ΗΛ. ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛ. οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσας' ὧδε πιστεύεις ἄγαν;
ΧΡ. ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου σαφῆ
σημεῖ' ἰδοῦσα τῷδε πιστεύω λόγῳ.
ΗΛ. τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα θάλπει τῷδ' ἀνηκέστῳ πυρί;
ΧΡ. πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μώραν λέγῃς.
ΗΛ. σὺ δ' οὖν λέγ', εἴ σοι τῶν λόγων τις ἡδονή.
ΧΡ. καὶ δὴ λέγω σοι πᾶν ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος καὶ περιστέφῃ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεώρη βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι

879 καὶ σὺ τοῖς Wunderus misc. Soph. p. 19 | 881 ὕβριν L ὕβρει Lω | 882 νόει ς | 885 ἐμοῦ γε Erfurdtius | ἄλλης L ἄλλου Lω | 888 βλέψασα ω: κλέψασα L | θάλπει L | ἀνηφαίστῳ Bergkius Nauckius | 889 πρὸς νῦν L | μαθοῦσ' ἐμέ Froehlichius | 890 λοιπὸν μ' L λοιπόν μ' Lg λοιπὸν ἴν' pς | μώραν Nevius: μωράν Lω | λέγοισιν L λέγηση L λέγοις ς λεγῇς ς λέγεις ς | 891 τῶν λόγων ~~Froehlichius~~ Reiskius ~~Nauckius:~~ τῷ λόγῳ Lω | 894 ὁρῶι L | 896 ἐστίν L εἰσίν supr. L | 897 ἐγχρίμπτῃ l: ἐγχρίπτῃι Lpς ἐγχρίπτει ς | 900 ἐσχάτῃ — πυρᾷ Schaeferus | 901 νεώρη Dindorfius: νεωρῇ Lω | 902 μου L μοι Lω

888 *Βλέψασα θάλπῃ*] ἀντὶ τοῦ, παρακόπτεις τὰς φρένας ὡς ἐν πυρετῷ ⟨ἀνήκεστον Suidas⟩. | *ἀνηκέστῳ*] δὲ πυρί, ὡς εἰ ἔλεγεν ἀνιάτῳ ἐλπίδι· ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην ἤδη ἀπολωλότα ⟨Suidas ἀνηκέστῳ δὲ πυρί, ἀνελπίστῳ προσδοκίᾳ⟩. | *θερμαίνεις τῇ χαρᾷ.* | 893 *Ἀρχαῖον*] τὸν ἐκ πολλοῦ ᾠκοδομημένον. | 894 * *Eustathius ad Hom. Il. B, 811 p. 351 ταὐτὸν δὲ πάντως κολωνὸν κἀνταῦθα καὶ κολώνην εἰπεῖν. νικᾷ δὲ ὁμῶς τὸ ὁμηρικόν, ᾧ καὶ Σοφοκλῆς ἀκολουθῶν κολώνην ἄκραν τάφου ἔφη.* * | 895 *Πηγὰς γάλακτος*] πολὺ γάλα, ὡς τὸ δακρύων πηγὰς ⟨Antig. 803⟩ ἀντὶ τοῦ πολλὰ δάκρυα. | 896 *Θήκην πατρός*] τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη. | 901 *Νεωρῆ*] τὸν νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος, νέαν ⟨Suidas⟩.

ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι
μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.
τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ· πῶς γάρ; ἦ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν οὔτε δρῶσ' ἐλάνθανεν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἀλλ', ὦ φίλη, θάρσυνε. τοῖς αὐτοῖσί τοι
οὐχ αὐτὸς ἀεὶ δαιμόνων παραστατεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛ. φεῦ, τῆς ἀνοίας ὡς σ' ἐποικτείρω πάλαι.
ΧΡ. τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛ. οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει.
ΧΡ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἃ γ' εἶδον ἐμφανῶς;
ΗΛ. τέθνηκεν, ὦ τάλαινα, τἀκείνου τέ σοι
σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὕρα.
ΧΡ. οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
ΗΛ. τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
ΧΡ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοί μ' ὑπέρχεται.

903 ψυχῆσ L ψυχῆι Lω | 904 ὄνομα Hermannus ad Eurip. Hec. p. 123 ed. 1 | τοῦτο δρᾶν θελκτήριον Burgesius ad Eurip. Troad. p. XXIII | 905 βαστάσασ L βαστάσασα L | 912 ἀκλαύτῳ Dindorfius | 914 ἐλάνθανεν L ἐλάνθανεν ω: ἐλάνθαν' ἄν Heathius ἂν ἔλαθεν ἄν Elmsleius ad Eurip. Med. 416 | 915 τἀπιτίμια Lω γρ. τἀγλαΐσματα L τἀπιτύμβια Dindorfius | 916 ἄγ', ὦ φίλη Valckenarius ad Eurip. Hipp. 288 Froehlichius | 917 οὐχ αὐτὸς ἀεί Brunckius: οὐκ αὐτὸσ αἰεί Lω | 918 δ' om. L | πρόσθε L | ἡ L ἡ Lω | 920 φ L φευ L | 922 οὐκ οἶσθ' ὃ γηθεῖς Iacobsius anim. anth. gr. III, 2 p. 22 | φορηι L φέρει L γρ. ἔφυσ L | 924 τἀκ κείνου Canterus nov. lect. IIII, 29 | τε Wunderus: δέ Lω

903 *Σύνηθες ὄμμα*] ὅραμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν. | 909 τὸ μὲν ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀληθειαν γελοῖον· πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει. | *Τόδε*] τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. | 915 *Τἀπιτίμια*] τὰ ἐπὶ τῇ τιμῇ γινόμενα τοῦ πατρὸς ⟨Suidas⟩. | 919 *Κῦρος*] ἐπιτευκτικὴ καὶ κυρία. | ἐπιτυχία ⟨Suidas⟩.

ΗΛ. κατ' οἶκον ἡδὺς οὐδὲ μητρὶ δυσχερής.
ΧΡ. οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ΗΛ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινά.
ΧΡ. ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα
ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν ἄλλα θ' εὑρίσκω κακά.
ΗΛ. οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δέ μοι πίθῃ
ΧΡ. ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ΗΛ. τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΗΛ. οὐκ ἔσθ' ὅσ' εἶπον· οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡ. τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;
ΗΛ. τλῆναί σε δρῶσαν ἃν ἐγὼ παραινέσω.
ΧΡ. ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.
ΗΛ. ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.
ΧΡ. ὁρῶ. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.
ΗΛ. ἄκουε δή νυν ἧ βεβούλευμαι ποιεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων
ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ' Ἅιδης λαβὼν
ἀπεστέρηκε καὶ μόνα λελείμμεθον.

929 οὔτε Purgoldus obs. crit. p. 137 | γρ. δυσμενής L | 934 συν in litura quattuor vel quinque litterarum L | 935 τοὐσδε L τοιοὐσδε Lω | 938 πιθῆι Lpς πίθῃ Lς | 939 940 sic transposuit 941 del. Nauckius | 940 ἦ L ἢ L | 941 ὅ δ' Ll ὅ γ' Lω ὃ δή Bergkius | 943 ἂν L | 944 εἶ in litura L (restat ") | ὠφέλει' ἐγώ Bergkius | 945 πόνους eraso σ L | 947 δὴ νῦν L | ποεῖν Lg γρ. τελεῖν L τελεῖν ω | 948 παρουσία ς | καί πού (ab alia manu) σοι φίλων L γρ. καὶ σύ που φίλων Lω | 950 λελείμμεθον L (λελει in litura trium litterarum) λελείμμεθα ς Elmsleius ad Eurip. Iph. T. 777 mus. crit. II p. 294

929 *Οὐδὲ μητρὶ δυσχερής*] ὃ ἐστιν, οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθεὶς καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν. ⟨*cf. Eustathius ad Hom. Il. Z, 333 p. 416 lστέον δὲ ὅτι τὸ οὐδ' ὑπὲρ αἶσαν ταὐτόν ἐστι τῷ κατ' αἶσαν, διὸ καὶ ἐπιμονὴν ὁ λόγος ἔχει τὴν καθ' ἧθος ἀληθευτικήν, καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ* Oed. R. 58⟩ *γνωτὰ κοὐκ ἄγνωτά μοι καὶ τὸ ἡδὺς οὐδὲ μητρὶ δυσχερής.*⟩ | 933 *Μνημεῖ' Ὀρέστου*] *τοῦ Ὀρέστου μνημόσυνα.* | 942 *Ὧν ἐγὼ φερέγγυος*] *ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλὴς εἶμι* ⟨*καὶ βεβαιωτής add. Suidas*⟩. | *φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτῖσαι. οἷον ἀξιόχρεως, δυναμένος ἀναδέξασθαι τὴν ἐγχείρησιν* ⟨*Suidas*⟩. | 944 *Ἀλλ' εἴ τις ὠφέλειά γε*] *τοῦτο τῷ προτέρῳ ὅμοιον* ⟨*940*⟩. *ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;* | 945 *Εὐτυχεῖ*] *ἀντὶ τοῦ ἐπιτυγχάνεται* ⟨*Suidas*⟩. | 946 *Ξυνοίσω*] *συμπονήσω. τοῦτο συνῳδὸν τῷ* ⟨*942*⟩ *τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;* | 948 ⟨*γρ. καὶ σύ που φίλων*] *ἤγουν, καὶ πόθεν σοι ἔσονται φίλοι add.* L⟩.

ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντ' ἔτ' εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
νῦν δ' ἡνίκ' οὐκέτ' ἔστιν, ἐς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσεις κτανεῖν
Αἴγισθον· οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥᾴθυμος ἐς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθήν; ἦ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
πάρεστι δ' ἀλγεῖν ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξει ποτ'· οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.
ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσει τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλεῖ τὸ λοιπὸν καὶ γάμων ἐπαξίων
τεύξει· φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγων γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν

951 βιοῦν Schmidtius progr. Herford. a. 1859 | 952 θάλλοντ' ἔτ' Reiskius Musgravius: θάλλοντά τ' Lω θάλλοντα γ' ς | 954 ἐς Dindorfius: εἰς Lω | 956 κατοκνήσεις Lς | 957 del. Wunderus | 960 ἐστερημένην Elmsleius ad Eurip. Med. 1207 | 961 πάρεστιν L πάρεστι δ' Lω | 963 μηκέτι L | 964 τεύξῃ Lς | 966 αὐτῶι Lς αὐτῶι Lς | 967 βουλεύμασιν L (eraso ν) | 969 οἴσῃ L | 971 καλῆι τολοιπόν L | 972 τεύξῃ L | 973 λόγων Bothius Dobreus adv. II p. 50: λόγωι Lω | 974 πεισθεῖσά μοι Elmsleius

953 *Πράκτορα*] ἔκδικον ⟨*Suidas*⟩. | 958 *Ποῖ*] *ἀντὶ τοῦ εἰς τίνα χρόνον* ⟨*Suidas*⟩. | 964 *Οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνήρ*] *προειποῦσα τὰ δεινὰ τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστιν.* | 975 *Τίς γάρ ποτ' ἀστῶν*] *ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικεν τὰ ἀγαθά, ἅπερ αὐταῖς παρέσται ἀνελούσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπεξῄρηκεν, οἷα πείσονται ἀλοῦσαι· καίτοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ, οἷα καὶ πρόσθεν ἔλεγεν* ⟨*821*⟩ *ὡς χάρις μέν, ἂν θάνω, λύπη δ', ἐὰν ζῶ. ἀλλ' ἤδει τὸ περίφοβον τῆς Χρυσοθέμιδος, ὥστε ἐκοῦσα τοὺς δειλοτέρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς*

τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται
ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,
ὦ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,
ω τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ
ψυχῆς ἀφειδήσαντε προὐστήτην φόνου·
τούτω φιλεῖν χρή, τώδε χρὴ πάντας σέβειν·
τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών'.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί,
σύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμέ,
παῦσον δὲ σαυτήν, τοῦτο γιγνώσκουσ', ὅτι
ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.
ΧΟ. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος.
ΧΡ. καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος

978 τῶν πατρώιων L τὸν πατρῷον Lt | 981 τῶδε L τώδε Lt | χρῆν... tribus litteris erasis L χρή Lω | 984 πᾶσι.σ erasa littera L πᾶς τις Lω | 985 γρ. μοι λιπεῖν L μὴ λιπεῖν ς | 986 'πίσθητι L | 988 γινώσκουσ' L | 990 προθυμία gς | 991 τῷ κλύοντι Llpς τῷ del. Lt | 993 om. L add. Lt | ἐσώιζετ' L | 994 σώιζεται L | 995 ἐμβλέψασα post a littera τ erasa L

ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι. ⟨*cf.* **Apsines** *ars rhet. 12 p. 708* **Ald.** ἔστι δὲ ἠθοποιΐα λόγος περιτιθέμενος προσώποις ὑποῦσιν. — κεχρῆται καὶ **Σοφοκλῆς** ἐν Ἠλέκτρᾳ τὴν ἀδελφὴν αὐτῆς τὸν Αἴγισθον καὶ τὴν μητέρα ἀποκτεῖναι κελευούσῃ [καὶ τὴν Κλυταιμνήστραν], πειρᾶται δὲ αὐτὴν ἀναπείθειν ἐξ ἠθοποιΐας· 'οἱ γὰρ βλέποντες ἡμᾶς' φησί 'τὰ καὶ τὰ ἐροῦσι'.) | 977 Ἴδεσθε τώδε] ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες τοῖς Ἀττικοῖς· τὼ χεῖρε γὰρ φασίν· καὶ Ὅμηρος ⟨*Il. E, 778*⟩ 'τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι'. | τώδε ἀντὶ τοῦ τάσδε. | 978 Ὦ, ἀντὶ τοῦ αἵτινες. | 980 Προὐστήτην φόνου] προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν. | 981 Τούτω] ἀντὶ τοῦ ταύτας. | 984 ⟨Τοιαῦτα πᾶς τις ἐρεῖ] ἤτοι οὕτως ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῖν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις *add.* Lt⟩. | 990 Ἐν τοῖς τοιούτοις ἐστίν] ὁ χορὸς ὑπερθαυμακὼς τὸ τολμηρὸν τῆς Ἠλέκτρας φησίν, ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας τὰ τοιαῦτα δεῖ καὶ λέγειν καὶ ἀκούειν. | 993 'ἐσώζετ' ἄν[' φησί ']τὴν εὐλάβειαν' οὐ σώζει, φησί, τὴν εὐλάβειαν, ἀλλ' ἔστι θρασεῖα καὶ ῥιψοκίνδυνος. | 995 Τοιοῦτον θράσος αὐτή θ' ὁπλίζει] λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν ἢ μόνον θράσος.

αὐτή θ' ὁπλίζει κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν οὐδ' ἀνὴρ ἔφυς,
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα κακῶς πράσσοντε μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
βᾶξιν καλὴν λαβόντε δυσκλεῶς θανεῖν.
χοὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι,
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ,
σθένουσα μηδὲν τοῖς κρατοῦσιν εἰκαθεῖν.
ΧΟ. πιθοῦ· προνοίας οὐδὲν ἀνθρώποις ἔφυ

996 ὁπλίζηι L | 997 οὐκ ς | 998 ἔλασσον Brunckius: ἔλαττον Lω | 999 εὐτυχεῖ Ll εὐτυχήσ Lp | 1003 πάσχοντε schol. Soph. Oed. C. 1676 | 1005 λύσει Erfurdtius | γάρ. post ρ littera erasa L | ἡμῖν Elmsleius ad Eurip. Med. 553 | 1007. 1008 del. Ahrensius progr. Coburg. 1859 p. 12 Nauckius | 1007 om. L add. Lt | ὅταν καλόν Purgoldus obs. crit. p. 138 | 1008 χρήζ.. duabus litteris elutis L χρήζηι l χρήζων Lω | ἔχει L ἔχηι Lt | 1013 αὐτῆ L αὐτή Lt | 1014 εἰκαθεῖν Elmsleius ad Eurip. Med. 186: εἰκάθειν Lω | 1015 πιθοῦ ς: πείθου Lpς | ἀνθρώποις ἔφυ Lω Ioannes Stobaeus flor. III, 2 ἔφυ βροτοῖς Suidas

997 Γυνὴ μὲν οὐδ' ἀνήρ] ταῦτα πάντα ὅμοιά ἐστι τοῖς ἐν Ἀντιγόνῃ· εἴ τις παραβάλοι, εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα. | 998 Σθένεις δ' ἔλασσον] τοῦτο δεύτερον κεφάλαιον. | 999 Δαίμων δέ] τοῦτο τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκός, τῆς τύχης μὴ συλλαμβανομένης. | 1000 Ἀπορρεῖ] ἐλαττοῦται, μαραίνεται. | 1005 Λύει γὰρ ἡμᾶς οὐδέν] οὐ λυσιτελεῖ γὰρ ἡμῖν, φησίν, οὐκ ἀπαλλάσσει τῶν κακῶν. ⟨**Suidas** λύει ἀντὶ τοῦ λυσιτελεῖ.⟩ | οὐδὲν ἡμᾶς ἐκλύσεται. | 1006 Δυσκλεῶς θανεῖν] ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ κλεῶς θανεῖν] ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ Ὅμηρος ⟨*Od. X, 462*⟩ 'μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἅπο θυμὸν ἑλοίμην'. | 1007 Ἀλλ' ὅταν θανεῖν χρήζων] ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς. λείπει τὸ καλῶς. | 1008 Εἶτα μηδὲ τοῦτ' ἔχῃ] οὐ τὸ τοῦ θανάτου δεινόν ἐστιν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παροῦσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ. τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος. | 1013 Ἀλλὰ τῷ χρόνῳ ποτέ] ἐν ὑπερβατῷ. | 1014 * **Suidas** εἰκάθειν· ὑποχωρεῖν, ὑπείκειν. Σοφοκλῆς 'ἀλλὰ — εἰκάθειν'. | 1015 **Suidas** πρόνοια· πρόγνωσις. Σοφοκλῆς 'πείθου — σοφοῦ'. *

κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ.
ΗΛ. ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ἤδη σ' ἀπορρίψουσαν ἀπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
ΧΡ. φεῦ.
εἶθ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς
θνήσκοντος εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.
ΗΛ. ἀλλ' ἦ φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.
ΧΡ. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ. ὡς οὐχί συνδράσουσα νουθετεῖς τάδε.
ΧΡ. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.
ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
ΧΡ. ἀνέξομαι κλύουσα χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἔξ ἐμοῦ γε μὴ πάθῃς τόδε.
ΧΡ. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.
ΗΛ. ἄπελθε· σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
ΧΡ. ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
ΗΛ. ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
ΧΡ. οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω, γ', οἵ μ' ἀτιμίας ἄγεις.
ΧΡ. ἀτιμίας μὲν οὔ, προμηθίας δὲ σοῦ.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
ΧΡ. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.
ΗΛ. ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.

1018 ἤδη Brunckius: ἤδειν Lω | ἃ 'πηγελλόμην L ἃ 'πηγγειλάμην Thomas Magister | 1019 γρ. ἀλλ' οὐδὲν ἥσσόν μοι Ald | 1022 θνήισκοντος L | πᾶν Dawesius misc. crit. p. 260: πάντα Lω | γὰρ ἄν Lls ἄν erasum Ald del. ps | πάντα γ' ἄν Musgravius | 1023 ἦ Elmsleius praef. Soph. Oed. R. p. XII: ἦν Lω | ἥσσον L ἥσσων Ald ω | 1024 γ' οὖν L νοῦν Ald ω | 1028 γὥταν L χὥταν Ald ω | 1029 μάθησ Ls πάθησ Alps | τότε L τόδε Ald ω | 1038 τότ' L τόθ' Ald ω | ἡγήσῃ L | συνὼν L σὺ νῷν Ald ω

1018 *Ἃ 'πηγγελλόμην*] ἀντὶ τοῦ ἃ ἠξίουν· τὸ δὲ παρακαλεῖν ἀπαγγέλλειν φησίν. ⟨*cf. Thomas Magister p. 1413 R* ἐπαγγέλλομαι δὲ ὡς ἐπιπολὺ μὲν τὸ ὑπισχνοῦμαι, σπανίως δὲ καὶ τὸ αἰτῶ· *Σοφοκλῆς ἐν Ἠλέκτρᾳ* 'καλῶς — ἃ 'πηγγειλάμην'.⟩ | 1019 *Ἀλλ' αὐτοχειρί μοι*] παρατήρει κἀνθάδε τὴν εὐτολμίαν, ὡς καὶ ἐν Ἀντιγόνῃ. | 1026 εἰκὸς ⟨πρέπον ἢ ἀκόλουθον εὔλογον *add. Suidas*⟩ γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα καὶ πάσχειν κακῶς· τοῦτο δὲ ⟨παρὰ τὸ *add. Suidas*⟩ πινδαρικόν ⟨*Nem. IIII, 31*⟩ ἐπεὶ ῥέζοντά ⟨*G* ἐπηρεάζοντά *L*⟩ τι καὶ παθεῖν ἔοικεν' ⟨*Suidas*⟩. | 1028 οἷον, ἔσται καιρός, ὅτε με εὐφημήσεις. | ⟨ἤτοι πεισθήσομαι καὶ ἐπαινέσω σε, ὅταν καλῶς λέγῃς. *add.* Ald⟩ | 1029 καὶ ἄλλως. οἷον οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου. | 1039 *Ἦ δεινὸν εὖ λέγουσαν*] δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ἐξαμαρτάνειν. ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρός, πρὸς τοῦτο φησὶν ἡ Ἠλέκτρα 'δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν, ἄδικα πράσσειν καὶ ἁμαρτάνειν· ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ. | 1040 *Εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ*] τὸ ἁμαρτάνειν· λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις. ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν. | 1042 * *Suidas δικητροπεῖ· φυγαδεύει. Σοφοκλῆς 'ἀλλ' — φέρει' ἀντὶ τοῦ καταδίκην.* * | 1044 *Ἀλλ' εἰ ποιήσεις ταῦτα*] οἷον, τοῖς δεινοῖς περιπεσοῦσα ἐπαινέσεις με σύμφορά σοι βουλεύσασαν. | 1046 *Πάλιν*] εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον. | 1047 * *Suidas ἔχθιον· ἐχθρότερον. Σοφοκλῆς 'βουλῆς — κακῆς'.* * | 1052 *Μεθέψομαι*] ἀντὶ τοῦ κοινωνήσω. | 1056 παρὰ τὸ ὁμηρικόν ⟨*Il. P*, 32⟩ 'δεχθὲν δέ τε νήπιος ἔγνω'. | 1058 *Τί τοὺς ἄνωθεν φρονιμωτάτους*] τὸ ἄνωθεν ἢ τόπου ἢ χρόνου ἐστίν· ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἀέρι ⟨*Suidas*⟩. οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ, τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν ⟨*G* περιλαβεῖν *L*⟩ λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία, ἡ δὲ Κλυταιμνήστρα ἄστοργος. | τὸ δὲ ἑξῆς· τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς, ἀφ' ὅτων τε ἂν βλαστῶσι καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν· ἐπὶ τῶν τέκνων τὰ δύο· ἀφ' ὧν τ' αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσιν. | λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστά-

ΧΡ. εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛ. τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡ. ἀλλ' ἔστιν ἔνθα χὴ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποιήσω γ' οὐδὲν ἐκπλαγεῖσά σε.
ΧΡ. καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσει πάλιν;
ΗΛ. βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
ΧΡ. φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα κοὐ νεωστί μοι.
ΧΡ. ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπῃ
τολμᾷς ἐπαινεῖν οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
ΧΡ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.
ΧΟ. τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς
1058—1069 = 1070—1081

1046 βουλεύσηι L | 1052 οὔ σοι ps: οὖ σοι L | οὔτοι σοι μεθέψομαι Elmsleius ad Eurip. Med. 1120 οὐ γάρ σοι μεθέψομαι Monkius οὐχὶ σοὶ μεθέψομαι Nauckius | 1053 οὐδ' ἢν L οὐδ' ἤν Ald | τυγχάνησ Lp τυγχάνεις Ald τυγχάνῃς s | 1057 ἔπηι L

σαν] δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ἐξαμαρτάνειν. ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρός, πρὸς τοῦτο φησὶν ἡ Ἠλέκτρα 'δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν, ἄδικα πράσσειν καὶ ἁμαρτάνειν· ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ. | 1040 *Εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ*] τὸ ἁμαρτάνειν· λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις. ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν. | 1042 * *Suidas δικητροπεῖ· φυγαδεύει. Σοφοκλῆς 'ἀλλ' — φέρει' ἀντὶ τοῦ καταδίκην.* * | 1044 *Ἀλλ' εἰ ποιήσεις ταῦτα*] οἷον, τοῖς δεινοῖς περιπεσοῦσα ἐπαινέσεις με σύμφορά σοι βουλεύσασαν. | 1046 *Πάλιν*] εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον. | 1047 * *Suidas ἔχθιον· ἐχθρότερον. Σοφοκλῆς 'βουλῆς — κακῆς'.* * | 1052 *Μεθέψομαι*] ἀντὶ τοῦ κοινωνήσω. | 1056 παρὰ τὸ ὁμηρικόν ⟨*Il. P*, 32⟩ 'δεχθὲν δέ τε νήπιος ἔγνω'. | 1058 *Τί τοὺς ἄνωθεν φρονιμωτάτους*] τὸ ἄνωθεν ἢ τόπου ἢ χρόνου ἐστίν· ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἀέρι ⟨*Suidas*⟩. οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ, τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν ⟨*G* περιλαβεῖν *L*⟩ λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία, ἡ δὲ Κλυταιμνήστρα ἄστοργος. | τὸ δὲ ἑξῆς· τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς, ἀφ' ὅτων τε ἂν βλαστῶσι καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν· ἐπὶ τῶν τέκνων τὰ δύο· ἀφ' ὧν τ' αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσιν. | λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστά-

ἐσορώμενοι τροφᾶς κηδομένους ἀφ' ὧν τε βλάστω-
σιν ἀφ' ὧν τ' ὄνασιν εὕρωσι, ταύδ' οὐκ ἐπ' ἴσας τε-
λοῦμεν;
ἀλλ' οὐ μὰ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δᾶρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα, κατά μοι βόασον οἰκτρὰν
ὅπα τοῖς ἔνερθ' Ἀτρείδαις, ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφὶν ἤδη τὰ μὲν ἐκ δόμων † νοσεῖ,
τὰ δὲ πρὸς τέκνων διπλῆ φύλοπις οὐκέτ' ἐξισοῦται
φιλοτασίῳ διαίτᾳ. πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, πότμον ἀεὶ πατρὸς
δειλαία στενάχουσ' ὅπως
ἃ πάνδυρτος ἀηδών,

1059 ὁρώμενοι Boissonadeus | 1061 βλάστωσιν Schaeferus: βλαστῶσιν Lω | ὄνασιν Brunckius: ὄνησιν Lω Suidas | ἀφ' ὧν τε βλάστωσ' ἀπό θ' ὅτων Bergkius | 1063 μά del. Turnebus | 1064 οὐρανίας ut videtur L οὐρανίαν Lt | 1065 ἀποίνητοι p | 1069 ὀνήδη L ὀνείδη Lt | 1070 σφὶν ἤδη Schaeferus: σφίσιν ἤδη Lω σφίσιν δή Erfurdtius | νοσεῖ δή Triclinius νοσεῖται cod. Par. 2794 νοσοῦσιν ς νοσεῖ γᾶ Lachmannus de chor. syst. p. 177 νοσεῖ εἶτα Langeius de Soph. El. stasimo secundo p. 13 νοσώδη Erfurdtius νοσοῦντα Kayserus act. sem. philol. Heidelb. p. 62 νοσεύει Dindorfius | ἐκ δόμων ὅλωλεν τέκνα, πρὸς δὲ τῶν διπλῆ Hartungus | 1071 τᾷ δέ Boissonadeus | 1074 πρόδοτον Hamacherus | 1075 πότμον ἀεὶ πατρός Bergkius: τὸν ἀεὶ πατρὸς Lω οἰτον ἀεὶ πατρὸς Heathius τὸν ἀεὶ πότμον aut potius τὸν ἐὸν πότμον Dindorfius βίοτον πατρός Hamacherus τόσ' ἀεὶ πατρός Hoffmannus zeitschr. f. oester. gymn. V p. 539 εὖτον' ἀεὶ πατρός Buchholzius n. iahrb. f. phil. LXXVI p. 343 ἁ παῖς πότμον ἀεὶ πατρὸς Schneidewinus | 1077 πάνδυρτος Porsonus adv. p. 211: πανόδυρτος Lω ὅπως παντόδυρτος Nauckius

ζειν τοῖς πτεροῖς, ἕως ὅτου πτεροφυήσωσιν. ⟨*Eustathius ad Hom. Il. Θ, 9 p. 694* παρ' αὐτῷ ⟨Σοφοκλεῖ⟩ δὲ καὶ ὁ ὁρῶν ὁρώμενος ὁμηρικῷ ζήλῳ, οἷον 'τούς — ὁρώμενοι'.⟩ | 1062 Τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν] καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις, καθ' ὧν τὸν λόγον πεποίηται. | 1065 Οὐκ ἀπόνητοι] ἀντὶ τοῦ, οὐκ ἐπιπολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν. | 1066 Ὦ χθονία βροτοῖσιν] οὐ τὴν ἐπίγειον φησίν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην. | 1068 Τοῖς ἔνερθ' Ἀτρείδαις] ἢ Ἀγαμέμνονα ἢ Ὀρέστην· δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι. | 1069 Ἀχόρευτα φέρουσ' ὀνείδη] ἐφ' οἷς οὐκ ἄν τις χορεύσειεν. | ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ. | 1070 Ὅτι σφίσιν ἤδη] ἡ ἀποτασις πρὸς τὴν Κλυταιμνήστραν· ἄγγελον οὖν, φησίν, ὅτι τὰ κατ' οἶκον νενόσηκεν καὶ οὐκ ἔστιν ὑγιῆ. | 1072 Οὐκέτ' ἐξισοῦται] οὐκέτι ἴσα φρονοῦσιν, ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας. | 1074 Πρόδοτος δὲ μόνα σαλεύει] κινδυνεύει· ἐκ μεταφορᾶς τῶν νεῶν. μόνη δέ, αὕτη ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας σαλεύει. | 1075 Τὸν ἀεὶ πατρός] λείπει ἡ περί· περὶ τοῦ πατρὸς στενάχουσα, ὡς τὸ ὁμηρικὸν ⟨*Il. X, 424*⟩ 'τῶν πάντων οὐ τόσσον ὀδύρο-

οὔτε τι τοῦ θανεῖν προμηθής, τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ' ἐρινύν. τίς ἂν εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν *
ζῶν κακῶς εὔκλειαν αἰσχῦναι θέλει
νώνυμος, ὦ παῖ παῖ,
ὡς καὶ σὺ πάγκλαυτον αἰῶνα κοινὸν εἵλου,
† τὸ μὴ καλὸν καθοπλίσασα δύο φέρει δ' ἐν ἑνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζῴης μοι καθύπερθεν
χειρὶ καὶ πλούτῳ τοσόνδ' ἐχθρῶν ὅσον
νῦν ὑπόχειρ ναίεις·

1082—1089 = 1090—1097

1078 τοῦ μὴ θανεῖν ς Eustathius | 1080 ἐριννύν ς | 1081 ἂν οὖν Lω οὖν del. Triclinius | βλάστοι Schaeferus: βλαστοῖ Lω | 1082 τῶν γὰρ ἀγαθῶν Ioannes Stob. flor. XXXVII, 4 Grotii ἀγαθῶν γάρ Hermannus ἀγαθῶν τοί Langeius ἀγαθῶν φύς Hartungus ἀγαθῶν ἂν — θέλοι Schneidewinus | 1083 αἰσχύναι L αἰσχῦναι Lt | θέλοι Orion anthologic. VII, 11 | 1084 νώνυμνος LΣ νώνυμος Lω | ὦ παῖ ὦ παῖ Boissonadeus | 1085 πάγκλαυστον ς | αἰῶ σύνοικον Nauckius αἰῶν' ἄοικον Langeius | 1087 κακόν Kayserus n. iahrb. f. philol. LXVIII p. 511 | τὸ ζῆν καλόν Langeius | καθυπνίσασα vel καθιππάσασα Hermannus καθυποβαλοῦσα Wolffius de schol. Laur. p. 36 καταπαλαίουσα Hartungus | φέρει δ' Nauckius: φέρειν Lω φέρεσθαι Boissonadeus | ἐν add. Brunckius: om. Lω | 1090 καθύπερθεν ς Eustathius: καθύπερθε Lpς | 1091 χειρί Eustathius: χερί Lω | τοσόνδ' Langeius: τῶν Lω τεῶν Hermannus | 1092 ὑπόχειρ Musgravius: ὑπὸ χεῖρα Lω ὑπὸ χέρα Erfurdtius

μαι, ἀχνύμενός περ, ὡς ἐνός'. | τὸ δὲ ἑξῆς· ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα· ἢ τὸν ἀεί, εἰς τὸν ἀεὶ χρόνον. | λείπει ἡ περί. | 1078 Οὔτε τι τοῦ θανεῖν προμηθής] πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν, ὅ ἐστιν, ἀφειδοῦσα τῆς ἰδίας ψυχῆς ⟨*Brunckius* τύχης *L*⟩ καὶ ῥιψοκινδυνοῦσα. ⟨*cf. Eustathius ad Hom. Il. Z, 333 p. 645* ὅμοιον καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ — 'οὔτε τι τοῦ μὴ θανεῖν προμηθής — ἑτοίμα.⟩ | 1079 Τό τε μὴ βλέπειν ἑτοίμα] ἑτοίμη καὶ τῆς ὄψεως στέρεσθαι, τουτέστιν ἀποστερηθῆναι τῶν ὀμμάτων. | ἀντὶ τοῦ, καὶ ἀποθανεῖν ἑτοίμη καὶ ζῶσα κολάζεσθαι· καὶ τοῦτο λέγει διδύμην ἐρινύν. | ἢ ἐπὶ τοῦ θανάτου τὰ δύο· ἑτοίμη μὴ βλέπειν αὐτούς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου, ἐν τῇ αὐτῇ ἐρινύϊ γενομένη τῷ Ἀγαμέμνονι, ὅ ἐστι διπλῆ ἐρινύς. | 1080 Διδύμαν ἐρινὺν] Αἴγισθον καὶ Κλυταιμνήστραν. | 1081 νώνυμνος τῆς εὐκλείας θέλων γενέσθαι. | Ὦ παῖ παῖ] οὕτω καὶ σύ, ὦ παῖ, εἵλου τὸν αἰῶνα πάγκλαυτον. | κοινὸν δὲ διηνεκῆ καὶ κοινὸν ἐπὶ παντὸς αἰῶνος ἑαυτῆς. | 1087 Τὸ μὴ καλὸν καθοπλίσασα] καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα. | οἷον, τοὺς ἐχθροὺς καταγωνισαμένη. | 1090 * *Eustathius ad Hom. Il. Π, 720 p. 1083* διὸ εὔχεται ὁ δῆθεν κατὰ πολὺ ἐλάττων Ἄσιος οὐκ ἴσος τῷ κολαστέῳ Ἕκτορι γενέσθαι ἀλλὰ μείζων, καὶ οὐχ ἁπλῶς μείζων, ἀλλ' ὅσον ἄρτι ἐλάττων ἐστίν. ὁ δὲ ταῦτα εὐχόμενος καὶ ἑαυτὸν σεμνύνει, ἐὰν οὕτως ἐλάσσων ὢν θάρρῃ κίνδυνον. ἰστέον δὲ ὅτι καὶ παρὰ τῷ ὁμηρικῷ ζηλωτῇ Σοφοκλεῖ ἔστι σχῆμα εὐχῆς ὅμοιον ἐν τῷ 'ζῴης — ναίεις'. *

ἐπεί σ' ἐφεύρηκα μοίρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν, ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα, τῶνδε φερο-
μέναν
† ἄριστα τᾷ Διὸς εὐσεβείᾳ.
ΟΡ. ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς καὶ τί βυνληθεὶς πάρει;
ΟΡ. Αἴγισθον ἔνθ' ᾤκησεν ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις χὠ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἴμοι τάλαιν'. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος,
ΟΡ. φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾶς, κομίζομεν.
ΗΛ. οἵ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν'· ἤδη σαφὲς
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλάεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.

1093 ἐπ' ἐσθλᾶ ς | 1095 τῶν δέ Hermannus | 1096 ἐριστᾷ Σ ἐριστά ς | τὰ διός Lω γρ. ταζηνός Ε ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ Porsonus ad Eurip. Or. 1700 ἄριστα τὰν σὰν δι' εὐσέβειαν Nauckius κράτος τ' ἀριστεῖα τ' εὐσεβείᾳ Langeius | 1099 θ' ls: δ' Lς | 1101 γρ. μαστεύω Ε | 1102 εὖ γ' Turnebus | 1107 ματεύουσ' ps: μανστεύουσ' L μαστεύουσ' Ellς | 1111 στροφίος L | 1113 μικρά ω | 1115 οἱ ἐγώ L | 1117 κλάεις Dindorfius: κλαίεις Lω

1095 Ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα] ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένη τὰ ἄριστα. ἢ ἐριστᾷ ⟨ἐριστά L⟩· ἀμφηρίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ Διός· ἢ ἐριστᾷ ⟨ἐριστὰ L⟩ τῇ εὐσεβείᾳ, ᾗ ἄν τις ἐρίσειεν, ἀντὶ τοῦ περισπουδάστῳ. | προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα, ἀντὶ τοῦ, μετὰ εὐσεβείας πράττουσαν ⟨ed. Rom. πράττουσα L⟩. | 1098 θαυμαστὴ ἡ οἰκονομία τοῦ ποιητοῦ, ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα, ἵνα εὔλογος πρόφασις τῆς παρόδου γένηται τῷ Ὀρέστῃ, καὶ παραυτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους. | Ὀρέστης πάρεστιν σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὀστῶν ἑαυτοῦ. | 1102 ἀζήμιος] ἀληθὴς καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους ⟨ἄμεμπτος add. Ε⟩ | 1117 ἀξιοπίστως ἄγαν Ὀρέστης σκληρός ἐστιν, οὐχ οἷον δεῖ ἄγγελον εἶναι, καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε.

ΗΛ. ὦ ξεῖνε, δός νυν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, ἐς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
ΟΡ. δόθ' ἥτις ἐστὶ προσφέροντες· οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε,
[ἀλλ' ἢ φίλων τις ἢ πρὸς αἵματος φύσιν.]
ΗΛ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν, ὡς σ' ἄπ' ἐλπίδων
οὐχ ὥνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα ταῖνδε κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.

1119 δὸς νῦν L | 1120 εἰς L | 1124 ἐπαιτεῖ τόδε Lg: ἐπαιτεῖται τάδε Ελω | 1127 σ' add. Brunckius: om. Lω | ὑπ' Schaeferus | 1128 ὅνπερ Dobreus adv. II p. 51: ὥνπερ Lω ὥσπερ Brunckius | εἰσσέπεμπον Ll ἐξέπεμπον Ελω | 1129. 1130 del. Nauckius | 1131 ὤφελες Lς ὤφελον Ελω | ἐκπέμψαι L ἐκπέμψω Ε | 1133 κλέψασα L κλέψασαν Ελς | κἀνασώσασθαι L κἀνασώσασα Ελς

1123 εἰκὸς αὐτοῖς ἔπεσθαί τινας. περιπαθῶς δὲ λίαν τὸ ἤ τις ἐστίν.| 1126 λαβοῦσα τὸ τεῦχος φησίν· ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. Ὅμηρος ⟨Il. T, 288⟩ ζωὸν μέν σ' ἔλιπον ἐγὼ κλισίηθεν ἰοῦσα'. * Apsines ars rhet. p. 724 Ald. κινεῖ δὲ ἔλεον καὶ λόγος τις γινόμενος πρὸς κτήματα τοῦ τεθνεῶτος. — καὶ ἡ 'Ηλέκτρα ἐν τῷ Ὀρέστῃ θεασαμένη τὴν ὑδρίαν ἐν ᾗ πλαστῶς κεκομισμένα ὀστέα αὐτοῦ διαλέγεται μὲν πρὸς αὐτήν, κινεῖ δὲ ἔλεον. φησὶ γοῦν 'ὦ φιλτάτου — λοιπόν'. ἔπειτα τούτοις συνάπτει τὸν παρ' ἐλπίδας τόπον καλούμενον καὶ αὐτὸν ἔλεον κινεῖν δυνάμενον. φησὶ γὰρ 'κοίτης μικρὸς ἐν μικρῷ' καὶ ἐπιτίμησιν αὐτῷ συνέπλεξεν, ὥσπερ μήποτε ὤφελε, φησίν, ἀλλὰ πρότερον τεθνήκειν· ἔπειθ' ἃ ἔδει τεθνεῶτος αὐτοῦ γεγονέναι ὡς οὐ γεγονότα διέξεισιν· οὐ γὰρ ἔθαψά σε, φησίν, οὐδὲ περιέστειλα. | Gellius VI, 5 histrio in terra Graecia fuit fama celebri, qui gestus et vocis claritudine et venustate ceteris antistabat: nomen fuisse aiunt Polum, tragoedias poetarum nobilium scite atque asseverate actitavit. is Polus unice amatum filium morte amisit. eum luctum quoniam satis visus est eluxisse, rediit ad quaestum artis. in eo tempore Athenis Electram Sophoclis acturus gestare urnam quasi cum Oresti ossibus debebat. ita compositum fabulae argumentum est, ut veluti fratris reliquias ferens Electra comploret commisereaturque interitum eius * * * existimatur. igitur Polus, lugubri habitu Electrae indutus, ossa atque urnam e sepulcro tulit filii et quasi Oresti amplexus opplevit omnia non simulacris neque imitamentis, sed luctu atque lamentis veris et spirantibus. itaque cum agi fabula videretur, dolor actus est. * | 1127 Ψυχῆς Ὀρέστου λοιπόν] λοιπὸν μνημεῖον.

νῦν δ' ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης φυγὰς
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς σ' ἐκόσμησ' οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκός, ἄθλιον βάρος.
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί. πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως βέβηκας. οἴχεται πατήρ·
τέτηκ' ἐγώ· σὺ φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί· μαίνεται δ' ὑφ' ἡδονῆς

1136 *κἀπὸ* L *κἀπί* Ld | 1137 *κακῶ* L *κακῶς* Ld | 1139 *σ'* om. L add. ls | *pr.σ* L (una duabusve litteris supra ρ erasis) *πυρόσ* Ld | 1141 *ξέναισι* ps: *ξένησι* L | 1142 *μικρός* Suidas | *μικρῷ* ps Suidas | 1148 *σοί* Lps: *σή* Ls | *προσηυδόμην* L *προσηυδώμην* Ld | 1152 *τέτηκ'* Musgravius Froehlichius: *τέθνηκ'* Lω | *ἐγώ σύ* Erfurdtius Froehlichius: *ἐγώ σοι* Lω

1137 *Σῆς κασιγνήτης δίχα*] οἷον, τῆς μόνης σου κηδομένης. ὅλα δὲ ἐπιτέταται τῷ πάθει διὰ τὸ παρεῖναι τὸν Ὀρέστην· ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ παρ' Ὁμήρῳ, ἐν οἷς φησί ⟨*Od.* τ, 209⟩ 'ἑὸν ἄνδρα παρήμενον'. | ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι ὅτι ἀδελφὴ αὐτοῦ ἐστὶν ἡ ἐν τῷ λόγῳ· ἀγνοῶν γὰρ αὐτὴν Ὀρέστης ἀπολοφυρομένην γνώσεται. | 1142 * *Suidas* ὄγκος· τὸ βάρος. Σοφοκλῆς 'μικρός — κύτει' περὶ τῶν Ὀρέστου λειψάνων. * | Ἐν σμικρῷ κύτει] τῇ θήκῃ. | 1146 οὐ γὰρ ἦς, φησί, τῆς μητρός ποτε ἢ καὶ ἐμοῦ μᾶλλον, ἵνα ἐπὶ τοῦ ἦσθα διαστείλωμεν· οὐκ ἦσθα τῆς μητρός, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ· οἷον, ἐγώ σοι μᾶλλον ἤμην μήτηρ ἤπερ ἡ Κλυταιμνήστρα· τὸ δὲ φίλος ἀντὶ τοῦ ὄφελος ⟨φίλος — ὄφελος *Suidas*⟩. ἄλλως. οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ· ἀντὶ τοῦ, οὐ τῇ μητρὶ προσέκεισο μᾶλλον. ἄμεινον δὲ τὸ ἕτερον διὰ τὴν ἡλικίαν τοῦ Ὀρέστου, ἐφ' ᾗ τὸ φίλον εἶναι αὐτὸν καὶ διακρίνειν τινὰ τότε οὐκ ἐνεχώρει· μικρὸς γὰρ ἦν. | 1153 * *Apsines rhet. p. 724* κινεῖ δὲ ἔλεον καὶ ἡ τῶν ἐχθρῶν ἐπ' αὐτοῖς ἐσομένη χαρὰ δηλουμένη καὶ νὴ Δία τις ἡδονή· ἡ γοῦν Ἠλέκτρα καὶ ἀπὸ τῆς περὶ τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν χαρᾶς οὔσης κινεῖ τὸν ἔλεον. γελῶσι δέ, φησίν, οἱ ἐχθροὶ καὶ μαίνεται ἡ μήτηρ ὑπὸ τῆς ἡδονῆς. *Eustathius ad Il. Z, 389 p. 649* τὸ δὲ μαινομένη ἐνθουσιᾶν δηλοῖ τὴν γυναῖκα πρὸς ὁρμὴν τῷ τοῦ ἀνδρὸς πόθῳ, οὗ ἡ ἐπίτασις μανίᾳ ἔοικε, καθὰ δηλοῖ καὶ τὸ 'μαίνεται δ' ὑφ' ἡδονῆς' παρὰ Σοφοκλεῖ. *ad Il. Θ, 111 p. 702* ὡς δὲ καὶ τὸ καθ' ὑπερβολὴν ἐρᾶν μανίᾳ ἔοικε καὶ ὁ πάσχων αὐτὸ μαίνεσθαι δοκεῖ, ὁμοίως δὲ καὶ ὁ κατ' ἄλλην ἄλογον καὶ ἀσύμμετρον ἔφεσιν πλεονάζων τοιούτῳ ἐνίσχεται σκώμματι, δῆλον ἐκ τῶν σοφῶν. μαίνεται γοῦν τις ὑφ' ἡδονῆς παρὰ Σοφοκλεῖ. *

μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν.
φεῦ φεῦ.
ὦ δεινοτάτας,
οἴμοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν ἐς τὸ μηδέν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων, καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὰ πολείπεσθαι τάφου·
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
ΧΟ. θνητοῦ πέφυκας πατρός, Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
[πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.]
ΟΡ. φεῦ φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.

1155 *λάθραι* L | 1157 *ἐξαφείλατο* L *ἐξαφείλετο* Ld | 1158 *φιλτάτου* L *φιλτάτης* Ld | 1159 *σπονδόν* L *σποδόν* Ld | 1160 *οἴμοι μοί* L | 1163 *κελεύθου* Llpgs *κελεύθους* Ls | 1165 *ἐς* Dindorfius: *εἰς* Lω | 1167 *ἦσθ'* L | 1169 *μὰπολείπεσθαι* Dindorfius: *μὴ ἀπολείπεσθαι* Lω | 1173 citat Ioannes Stobaeus floril. CXVIII, 16 ex Aristophanis Polyido del. Bergkius ztschr. f. alterth. wiss. 1835 p. 962. Aristoph. fragm. p. 1135 sq. | 1174 *ἀμηχανῶν* cod. Parisinus 2794: *ἀμηχάνων* Lω | *γλώσσης* Lps *γνώμης* Llg

1154 * *Apsines rhet. p. 724* κινεῖ δὲ ἔλεον καὶ ἡ ἀνάμνησις ὧν εἶπεν ἢ ἐποίησεν. κατὰ τοῦτον τὸν τρόπον καὶ Σοφοκλῆς τοιούτους τινὰς λόγους τῇ Ἠλέκτρᾳ περιτέθεικε. θρηνοῦσα γὰρ τὸν ἀδελφόν ἐστι τεθνεῶτα, ὡς ᾤετο, διέξεισι τὰς ἀγγελίας ἃς ἔπεμπε πρὸς αὐτὴν ὡς ἤξων αὐτὸς οὐκ εἰς μακρὰν τιμωρησόμενος τὸν Αἴγισθον. | 1164 *Alexander de fig. 13* τοῦτο δέ τινες ἰδίως ἀναδίπλωσιν λέγουσιν, ὅταν τὸ δεύτερον λεγόμενον ἄρχηται ἀπὸ τῆς τοῦ προηγουμένου τελευτῆς, ὡς Σοφοκλῆς 'ὦ φίλταθ' ὡς — κάρα'. * | ⟨ὦ μ' ἀπώλεσας] τὸ ω ἀντὶ τοῦ η, ἐν ᾗ με ἀπώλεσας *G*⟩ | 1171 πιθανῶς πρόσκειται τὸ ὄνομα τῆς Ἠλέκτρας, ἵνα μάθῃ Ὀρέστης· οὐ γὰρ μόνη ἦν αὐτῷ ἀδελφή· τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ χορὸς ἐν τῇ παρηγορίᾳ. | 1174 ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην· διεφθάρη γὰρ ἂν τὸ συνεκτικὸν τῆς ὑποθέσεως σιωπῶντος αὐτοῦ.

ΗΛ. τί δ' ἔσχες ἄλγος, πρὸς τί τοῦτ' εἰπων κυρεῖς;
ΟΡ. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ. τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ. οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ΗΛ. οὐ δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
ΟΡ. ὦ σῶμ' ἀτίμως καὶθέως ἐφθαρμένον.
ΗΛ. οὗτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
ΟΡ. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛ. τί μοί ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
ΟΡ. ὡς οὐκ ἄρ' ἦδη ἐμῶν οὐδὲν κακῶν.
ΗΛ. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡ. ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ΗΛ. καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ. καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΛ. ὀθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος
ΟΡ. τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛ. τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡ. τίς γάρ σ' ἀνάγκη τῇδε προτρέπει βροτῶν;
ΗΛ. μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἔξισοῖ.
ΟΡ. τί δρῶσα; πότερα χερσὶν ἢ λύμῃ βίου;
ΗΛ. καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς.
ΟΡ. οὐδ' ὑπαρήξων οὐδ' ὁ κωλύσων πάρα;
ΗΛ. οὐ δῆθ'· ὃς ἦν γάρ μοι σὺ προὔθηκας σποδόν.
ΟΡ. ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛ. μόνος βροτῶν νῦν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡ. μόνος γὰρ ἧκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.

1176 *τί δ' ἔσχε σ' ἄλγος* Bergkius | 1177 *Ἠλέκτρα* Lς *Ἠλέκτρας* Lpς | 1179 et 1180 Bergkius olim substitutos putat 1181—1184 qui 1178 exceperunt | 1180 *τί δή ποτ'* L *οὐ δή ποτ'* Lω *σὺ δή ποτ'* Steinhartus progr. Portensi saec. 1843 p. 7 | 1184 *τί μοί* L Suidas *τί δή* Lω | 1185 *ἤδη* Brunckius: *ἤδειν* Lω | *ἐγώ* L *οὐδέν* Lω | 1189 *τῶνδέτ'* L | *ἐξεσήμηνεσ* L *ἐξεσήμηνας* L | 1193 *γάρ* L *γάρ σ'* Lω | *ἀνάγκη* Lpς | 1196 *πᾶσι* L *πᾶσιν* Lω | 1197 *οὐδ' ὁ* ls: *οὔθ' ὁ* Lpς | 1198 *δῆτ'* L *δῆθ'* Lω | *προὔθηκα* L *προὔθηκας* Lω | 1200 *νῦν* L | *ἐποικτείρας ἐμέ* ς *ἐποικτείρας με σύ* ς | 1201 *τοῖσ ἴσοισ* L *τοῖσι σοῖς* Lω

1178 *τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ χορῷ περίκειται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς εἴδους εἴπῃ τι. θαυμαστῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα ⟨αὐτῆς ἀπὸ τῆς θλίψεως. καὶ ἄλλως. τί δ' ἔσχες add. G⟩.* | 1180 *ἆρα οὐ περὶ ἐμοῦ τάδε.* | 1184 *Ἐπισκοπῶν*] *καθορῶν ⟨Suidas⟩.* | 1186 *Ἐν τῷ*] *ἐν τίνι; ἢ διὰ τί; καὶ ἄλλως. ποίῳ λόγῳ εἰρημένῳ τοῦτον συνῆψας τὸν λόγον;* | 1193 *Τῇδε*] *εἰς τοῦτο.* | 1194 *οὐκ ἴσα πράσσει τῷ τῆς μητρὸς ὀνόματι ⟨Suidas ἔξισοῖ⟩.*

ΗΛ. οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡ. ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ΗΛ. ἀλλ' ἐστὶν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡ. μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛ. μὴ δῆτα πρὸς θεῶν τοὐμὸ μ' ἐργάσῃ, ξένε.
ΟΡ. πιθοῦ λέγοντι κοὐχ ἁμαρτήσει ποτέ.
ΗΛ. μή, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡ. οὔ φημ' ἐάσειν. ΗΛ. ὦ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡ. εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡ. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡ. ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛ. εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.
ΟΡ. ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛ. ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡ. οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛ. πῶς εἶπας, ὦ [illegible]; ΟΡ. ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛ. ἦ ζῇ γὰρ ἀνήρ; ΟΡ. εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛ. ἦ γὰρ σὺ κεῖνος; ΟΡ. τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛ. ὦ φίλτατον φῶς. ΟΡ. φίλτατον, συμμαρτυρῶ.
ΗΛ. ὦ φθέγμ' ἀφίκου; ΟΡ. μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛ. ἔχω σε χερσίν; ΟΡ. ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛ. ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
ΧΟ. ὁρῶμεν, ὦ παῖ, καὶπὶ συμφοραῖσί μοι

1207 *πιθοῦ* ls: *πείθου* Lς | *ἁμαρτήσῃ* L | 1208 *μ' ἐξέλῃ* Elmsleius ad Soph. Oed. r. 1522. Eurip. Heracl. 977 | 1210 del. Nauckius | 1217 *οὐγ* L *οὐκ* Lω | 1219 *ἔστι* L | 1220 *ὦ τᾶν* Nauckius: *ὦ παῖ* Lω | 1221 *ΗΛ. ἦ γὰρ σὺ κεῖνος; ΟΡ. ἔκμαθ' εἰ σαφῆ λέγω. ΗΛ. σφραγῖδα πατρός — ΟΡ. τήνδε προσβλέψασ' ἄθρει* Nauckius | *ἀνήρ* L | 1222 *προσβλέψουσα* L | 1225 *πύθῃ* L (*π* in litura litterae *φ* vel *ψ*) | 1226 *χεροῖν* L *γρ. χερσίν* Lpς *χειροῖν* Nevius | *ὁς* L *ὡς* L | *ἔχοις* Ll *ἔχεις* Lpς | 1228 *ὁραῖτ'* L | 1229 *νῦν δ' οὐ* Meinekius *νῦν δὲ μοὐμφανῶς* Bergkius

1211 *ἡ πρός ἀντὶ τῆς μετά.* | 1214 *Οὕτως ἄτιμός εἰμι*] *ὥστε μητὲ ὀνομάζειν αὐτόν.* | 1215 *Οὐχὶ σόν*] *οὐ σοὶ προσῆκον ⟨ἀλλ' ἐμόν inter 1215 et 1216 adscr. L⟩.* | 1217 *Ἠσκημένον*] *κατεσκευασμένον· ἀσκήματα γὰρ τὰ κατασκευάσματα ⟨Suidas⟩.* | 1223 *Σφραγῖδα*] *τὸν δακτύλιον.* | 1225 *Ὦ φθέγμ'*] *λείπει φίλτατον.* | 1230 * *Eustathius*

γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛ. ἰὼ γοναί,
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων ἐμόλετ' ἀρτίως,
ἐφηύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.
ΟΡ. πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛ. τί δ' ἔστιν;
ΟΡ. σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
ΗΛ. ἀλλ' οὐ τὰν Ἄρτεμιν
τὰν αἰὲν ἀδμήταν
τόδε μὲν οὔ ποτ' ἀξιώσω τρέσαι
περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.
ΟΡ. ὅρα γε μέντοι κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.
ΗΛ. ὀτοτοτοῖ τοτοῖ,
ἀνέφελον ἐπέβαλες οὔ ποτε καταλύσιμον,
οὐδέ ποτε λησόμενον ἄμέτερον
οἷον ἔφυ κακόν.
ΟΡ. ἔξοιδα, παῖ, ταῦτ'· ἀλλ' ὅταν παρουσία

1232—1252 = 1253—1272

1233 *γοναί* om. L add. Alps | *ἰὼ γοναί, ἰώ* Nauckius | 1235 *ἐφηύρετ'* Dindorfius: *ἐφεύρετ'* Lω | 1237 *ἔστι* L *ἔστιν* Aω | 1239 *ἀλλ' οὐ μὰ τὰν ς μὰ τάν* Hartungus | 1239 *ἀδαμάταν* Nevius | 1243 *μέντοι* Blomfieldius: *μὲν δή* Lw | 1245 *ὀτοτοτοῖ τοτοῖ* Hermannus: *ὀτοτοῖ* Lω | 1246 *ἐνέβαλες Σ*: *ἐπίβαλες* L *ἐπέβαλες* Aω | 1251 *παῖ* Meinekius com. gr. IIII p. 324: *καί* Lω *ναί* Hermannus | *ἔξοιδα καὐτός* Hartungus Bergkius

ad Hom. Il. Z, 367 p. 647 καὶ ἡ συμφορὰ δὲ οὐ μόνον ἀποτρόπαιος ἀλλὰ καὶ ἀγαθή, ὡς δηλοῖ σὺν ἄλλοις καὶ ὁ λέγων ἐπ' ἀγαθῷ τὸ 'ἐπὶ συμφοραῖς γεγηθός — ἀπὸ ⟨*cf. ad Il. Π, 786 p. 1086*⟩. * | 1233 *Γοναὶ σωμάτων*] *ἀντὶ τοῦ ἐνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος.* | 1235 *Εἴδεθ' οὓς ἐχρῄζετε*] *ἀντὶ τοῦ ἐμέ.* | 1236 *ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε*] *ἀντὶ τοῦ, σῖγα ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν.* | *παράκειται ἑκάστῳ τὸ οἰκεῖον· ἡ μὲν γὰρ γυνή τε οὖσα καὶ* ⟨*παρὰ add.*⟩ *προσδοκίαν εὐτυχοῦσα θρασυτέρα ἐστίν· ὁ δὲ ἀσφαλὴς διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.* | 1239 *Ἀλλ' οὐ τὰν Ἄρτεμιν*] *ἡ ἀπότασις πρὸς Κλυταιμνήστραν. ὅρα δὲ, εἰ οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ, παρόντος Ὀρέστου, ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο.* | 1243 *Ὅρα γε μὲν δή*] *ἐπὶ τὴν Κλυταιμνήστραν τείνων φησίν, ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.* | 1245 *Ὀτοτοῖ*] *ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο στίχων, φησὶν ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον, ὡς ἔφην, διάδηλον κακόν.* | 1246 *Ἀνέφελον*] *ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον* ⟨*Suidas*⟩. | 1248 *Οὔ ποτε καταλύσιμον*] *οὐ καταλυόμενον· ὁ δὲ νοῦς· λήθης τυχεῖν μὴ δυνάμενον* ⟨*Suidas*⟩. | 1251 *Ἀλλ' ὅταν παρουσία*] *ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ· ἢ ὁπόταν ἡ παρουσία τούτων ᾖ καὶ ὁ καιρὸς ἐπιτήδειος. τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα δι' ὅχλου ἦν τοῖς θεαταῖς ἐπισταμένοις τὸ πᾶν καὶ περιμένουσιν ἰδεῖν τὰ ἐξ Ὀρέστου γινόμενα.*

φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.
ΗΛ. ὁ πᾶς ἐμοὶ
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν τάδε δίκᾳ χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.
ΟΡ. ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.
ΗΛ. τί δρῶσα;
ΟΡ. οὗ μή 'στι καιρὸς μὴ μακρὰν βούλου λέγειν.
ΗΛ. τίς οὖν ἂν ἀξίαν
γε σοῦ πεφηνότος
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.
ΟΡ. τότ' εἰδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν
* * *
ΗΛ. ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος, εἴ σε θεὸς ἐπόρισεν
ἀμέτερα πρὸς μέλαθρα, δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.
ΟΡ. τὰ μέν σ' ὀρθῶ χαίρουσαν εἰργαθεῖν, τὰ δὲ
δέδοικα λίαν ἡδονῇ νικωμένην.
ΗΛ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν
ὁδὸν ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με, πολύπονον ὦδ' ἰδὼν
ΟΡ. τί μὴ ποιήσω; ΗΛ. μή μ' ἀποστερήσῃς

1255 *τάδε δίκᾳ* Triclinius: *τάδε δίκαια* Lω *γρ. τάδε δίκα* A | 1256 *ἔχων* (ut videtur ex *σχων* factum) L *ἔσχον* Aω | 1257 *σώιζου* L | 1260 *ἄν* om. L add. Alps | *ἀνταξίαν* Arndtius | *τίς οὖν ἀξίαν σοῦ γε πεφηνότος* Steinhartus progr. Port. saec. 1843 p. 7 | 1264 *ἐπώτρυναν* Brunckius: *ὤτρυναν* Lω | post 1264 versum excidisse indicavit Brunckius *αὐτοὶ γεγῶτες τῆσδε τῆς ὁδοῦ βραβῆς* supplevit Hermannus *δόμους πατρῴους· πάντα δαίμονος τίθει* Ahrensius progr. Coburg. 1859 p. 7 | 1266 *ἐπόρισεν* Dindorfius: *ἐπόρσεν* L *ἐπῶρσεν* Lω *ἐπῶρσέ τις* vel *ἐπούρισεν* vel *ἐβίβασεν* Hermannus *εἴ γέ σε θεὸς ἐπῶρσ'* vel *εἴ γέ σ' ἐπῶρσε θεός* vel *εἴ σέ γ' ἐπῶρσε θεός* Seidlerus de vers. dochm. p. 65 *εἰ θεὸς ἐπῶρσέ σε* Bergkius | 1269 *ἄμετρα* vel *ἀμέτερα* L *ἀμέτερα* Aω | 1271 *εἰργαθεῖν* Elmsleius ad Eurip. Med. 186: *εἰργάθειν* Lω | 1275 *με* om. ς | *πολύπονον ὦδ'* cod. ienensis: *πολύστωνῶιδ'* L *γρ. ὠδίδων* A (*ι* ex *ει* facto) *πολύστονον* ρω

1253 *ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν με ταῦτα.* | 1257 *Σώζου τόδε*] *ποῖον; τὸ ἐλευθεροστομεῖν. τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.* | 1259 *Μὴ μακράν*] *ἀντὶ τοῦ μὴ μακρῶς.* | 1260 *τίς ἄν, φησί, σοῦ φανέντος δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν; ἢ τίς* ⟨*ἥτις G*⟩ *τοῦ καιροῦ καλοῦντος καὶ προτρέποντος λέγειν τὴν σιωπὴν προκρίνας τὰ εὔλογα ἀφανίσειε* ⟨*ἀφανίσῃ G*⟩. | 1265 *Ὑπερτέραν*] *λείπει τὸ χάριν.* | 1266 *Τᾶς πάρος χάριτος*] *τῆς σῆς παρουσίας.* | 1276 *μὴ ἀποστερήσῃς με, φησί,*

τῶν σῶν προσώπων ἁδονὰν μεθέσθαι.
ΟΡ. ἦ κἀρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
ΗΛ. ξυναινεῖς; ΟΡ. τί μὴν οὔ;
ΗΛ. ὦ φίλαι, ἔκλυον ἂν ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
* * † ἔσχον ὀργὰν
ἄναυδον οὐδὲ σὺν βοᾷ κλύουσα
τάλαινα †. νῦν δ' ἔχω σε· προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἃς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.
ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου γὰρ ἂν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ
σήμαιν', ὅπου φανέντες ἢ κεκρυμμένοι
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτω δ' ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
φαιδρῷ προσώπῳ νῷν ἐσελθόντοιν δόμους·
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ

1277 *ἁδονάν* Dindorfius: *ἡδονάν* Lω | *μ' ἐλέσθαι* Pflugkius zeitschr. für alterth. wiss. 1836 p. 304 | 1280 *μήν* Seidlerus de vers. dochm. p. 136: *μή* Lω | 1281 *ἄν* Σω: *ἄν* L | 1282 *γλώσσας δὲ πῶς ἂν εὔφρον' ἔσχον* Hermannus *ὦ φίλαι, ἂν — ἔσχον ὁρμᾶν πάντ' ἄναυδον — 'κλύον τάλαινα* Steinhartus progr. Port. saec. 1843 p. 7 *οἵαν ἔκλυον ἐγώ — ὀργὰν οὔτ' ἄναυδον* Wolffius de schol. Laur. p. 36 *οὐδ' ἂν ἔσχον — βοᾷ κλύουσ' ἃ τάλαινα* Arndtius *ἄναυδον οὐδὲ ξυνέσχον ὀργὰν τὸ μὴ βοᾶν κλύουσα τάλαινα* Bergkius ⟨Hesychius *οὐ συνέσχεν ὀργήν· οὐ κατεκράτησεν ὀργήν*⟩ | 1287 *ἐγὼ.. οὐδ'* L (duae litterae erasae) | 1289—1292 del. Ahrensius progr. Coburg. 1859 p. 8 | 1292 *ἔργου* Reiskius Brunckius Froehlichius | 1296 *οὕτω* ς: *οὕτως* Lς | 1297 *ἐσελθόντοιν* Nauckius: *ἐπελθόντων* Lg *ἐπελθόντοιν* Lω | 1298 *λελεγμένῃ* ω: *δεδειγμένῃ* L *λελειγμένῃ* L

τοῦ μεθέσθαι τῶν ⟨*σῶν add.*⟩ *προσώπων καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς, ὅπερ μοι παρέσται ἐπιπλέον μετεχούσῃ σου καὶ ἀπολαυούσῃ· οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς· ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγησομαι.* | 1278 *Ἄλλοισι*] *τοῖς μὴ χαίρουσι τῇ ἐμῇ παρουσίᾳ.* | 1281 *Ὦ φίλαι, ἔκλυον ἂν ἐγώ*] *ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην οὔτε ἀκούσασα βοῆσαι. καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι καὶ ὁ φόβος ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα σιωπῆσαι· ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν.* | *ἄλλως.* *ὁ νοῦς. ἔκλυον αὐδήν, ἣν οὐδέποτε ἤλπισα ἀκοῦσαι* ⟨*add. G*⟩ *καὶ ἔσχον τρόπον ἄναυδον* [*τῷ μὴ δύνασθαι ἀκούειν*], *οὐδὲ βοῶντός τινος ἀκούειν δυναμένη· οὕτως ἐξέστην ἐμαυτῆς. λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν.* | *ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας· ἤρκει γὰρ κἂν ἓν τῶν λελεγμένων.* | 1288 *ἀφαιρεῖται γάρ, φησίν, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι τῶν λόγων ἡ ἀδολεσχία* ⟨*Suidas περισσά· εἰ χρόνου πόδα*⟩.

στέναζ'· ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.
ΗΛ. ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ'. ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα κοὐκ ἐμὰς ἐκτησάμην.
κοὐδ' ἄν σε λυπήσασα δεξαίμην βραχὺ
αὐτὴ μέγ' εὑρεῖν κέρδος· οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὀθούνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἢν σὺ μὴ δείσῃς ποθ' ὡς
γέλωτι τοὐμὸν φαιδρὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι,
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾷ
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα·
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ' αὐτὸς ὡς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.
ΟΡ. σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος. ΗΛ. εἶσιν', ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτε τις

1304 *λυπήσασι* L *λυπήσασα* Lω | *δεξαίμην* cod. palatinus: *λεξαίμην* L *γρ. βουλοίμην* L *βουλοίμην* ω | 1306 *ὑπηρετοίην* Musgravius Elmsleius ad Eurip. Heracl. 1017. Soph. Oed. C. 491: *ὑπηρετοίμην* Lω | 1311 *τε* om. L add. Lω | 1312 *ἐκπλήξω* L *ἐκλήξω* Lω | *χαρᾷ* Schaeferus: *χαρᾶς* Lω | 1313 *λήξαιμέγ' ὦι* L *λήξαιμ' ἐγώ* Lω | 1314 *μιᾷ σ' ἐν ἡμέρᾳ* Froehlichius | 1315 *εἰργάσω* L *εἴργασαι* Lω | 1318 *ἡμὶν* L Bergkius *ἡμῖν* Lω

εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην. | 1310 * *Eustathius ad Hom. Il. Δ, 141 p. 455 τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος, ᾧ τρόπῳ καὶ βοῦς τὸ δέρμα, ἡ βύρσα δηλαδή, καὶ παρὰ Σοφοκλεῖ γέλωτι φαιδρὸν κάρα ἤτοι πρόσωπον.* * | 1311 *Ἐντέτηκέ μοι*] *πρὸς τὴν μητέρα δηλονότι.* | 1322 *τινὲς τὸν χορὸν φασὶ λέγειν ταῦτα.* ⟨*L, ad 1326 adscripta in G, ubi addita sunt τοῦ παιδαγωγοῦ δὲ εἰσί.*⟩ | *τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν κελεύει αὐτὴν σιγᾶν· διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται.* | 1324 *τοιαύτην ἀγγελίαν φέροντες, ἣν οὐκ ἄν τις ἀπώσαιτο, λαβεῖν τα ὀστᾶ, οὐδὲ ἡδέως λάβοι, ὅτι κακή ἐστιν.*

δόμων ἀπώσαιτ' οὔτ' ἂν ἡσθείη λαβών.
ΠΑΙ. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενής,
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ἡμῖν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.
ΟΡ. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑΙ. καλῶς· ὑπάρχει γάρ με μὴ γνῶναί τινα.
ΟΡ. ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑΙ. εἷς τῶν ἐν Ἅιδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
ΟΡ. χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑΙ. τελουμένων εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛ. τίς οὗτός ἐστ', ἀδελφέ; πρὸς θεῶν φράσον.
ΟΡ. οὐχὶ ξυνίης; ΗΛ. οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡ. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας ἐς χέρας ποτέ;

1325 ἀπώσετ' L ἀπώσαιτ Lω | ἡισθείη L ἡσθείη Lω | 1328 ἐγγενής Σω ἐκγενής L | 1329. 1330 ὅτ' οὐ παρ' αὐτοῖς ὄντες οὐ γιγνώσκετε Nauckius | 1330 γινώσκετε L | 1331 σταθμοῖσιν L | 1332 ἡμῖν l: ὑμῖν Lω | 1333 δρώμεν' οἶμαι Nauckius | 1334 del. Ahrensius progr. Coburg. 1859 p. 12 | 1336 ἀπλείστου L | συγχαραῖ L σὺν χαραῖ Lω | 1337 μέλειν L | 1340 με Doederleinius: σε Lω γνωῖναι L (ι eraso) | 1340—1344 del. Ahrensius progr. Coburg. 1859 p. 11 | 1344 ἂν ὡς τὰ νῦν ἔχει Deventerius de interpol. Soph. p. 60 | 1345 τὰ κείνων L τἀκείνων Lω | 1345 del. Deventerius | 1347 ξυνίεις L | 1348 ἐς Dindorfius: εἰς Lω

1326 ἐπιτιμᾷ αὐτοῖς, ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίνονται. | ⟨1327 Κήδεσθ'⟩] φροντίζετε G.⟩ | 1328 Ἐγγενής] ἐγγεγενημένος ἢ ἄξιος τοῦ γένους. | 1332 Ἦν ἂν ὑμῖν ἐν δόμοις] οἷον, πρὶν ἰδεῖν τὰ σώματα ἡμῶν οἱ ἐχθροί, ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς. | 1338 Ἐν τοῖς τοιούτοις] καιροῖς. | 1344 θαυμαστῶς ὑπὲρ τοῦ μὴ ἐπιπλέον διατρίβειν, ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν ⟨1288⟩ 'τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες'. | ὁ δὲ νοῦς. καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν· ἅπερ λεγόμενα πρὸς ἄκρον ἐστὶ παροξυντικά. | 1346 Τίς οὗτός ἐστ', ἀδελφέ] οὐκ ἠρώτησε τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς, ἀλλ ἐφύλαξεν νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν. |

ΗΛ. ποίῳ; τί φωνεῖς; ΟΡ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.
ΗΛ. ἦ κεῖνος οὗτος, ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσηῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡ. ὅδ' ἐστί· μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' † ἔχων
ποδῶν ὑπηρέτημα, πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες οὐδ' ἔφαινες, ἀλλά με
λύγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί;
χαῖρ', ὦ πάτερ. πατέρα γὰρ εἰσορᾶν δοκω·
χαῖρ'· ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑΙ. ἀρκεῖν δοκεῖ μοι· τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ' ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ.
σφῷν δ' ἐννέπω 'γὼ τοῖν παρεστώτοιν ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη,
νῦν οὔτις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.
ΟΡ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων,
Πυλάδη, τόδ' εἴη τοὔργον, ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
ΗΛ. ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,

1350 προμηθίαι L προμηθείαι Lω | 1352 προσηῦρον Dindorfius: προσεῦρον Lω | 1355 ἦ L ἦ Lω | κεῖνος. εἶ L (α vel δ eraso) | 1355 del. Nauckius | 1357 ἥδιστον δ' ἐμοί vel ἥδιστον δὲ σῶν Schneidewinus ἥδιστον δὲ νῷν Bergkius | 1359 del. Nauckius | 1360 λόγοις μ' ἀπώλλυς Nauckius | 1361 γάρ σ' ὁρᾶν δοκῶ Nauckius | δοκῶι L | 1362 ἴσθ' L ἴσθι δ' Lω | ιανθρώπων L σ' ἀθρώπων Lω | 1365 κυκλοῦνται L κυκλοῦσι Lω (rursus eraso σι) κυκλουσι l | 1367 σφῶν L | 'γώ Hermannus: γε Lω | 1370 σοφωτέροις τούτων παλαισταῖς Nauckius | 1372 ἥμιν L Bergkius | ἡμὶν ἐνδεὲς λόγων Froehlichius ἡμὶν ἐνδέον λόγων Nauckius

1349 Οὗ τὸ Φωκέων πέδον] οὗ χεροὶν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθίᾳ. | 1366 Ταῦτα] τὰ κατ' ἐμέ, φησίν. | 1368 ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθου. | 1369 Ἐφέξετον] μελλήσετε. | 1372 τὸ οὐδὲν παρέλκει.

ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερί.
νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω
αἰτῶ, προπίτνω, λίσσομαι, γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.
ΧΟ. ἴδεθ' ὅποι προνέμεται
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων ἄφυκτοι κύνες,
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμενεῖ
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων

1384—1390 = 1391—1397

1378 *πρόστην* L *προύστην* Lω | 1380 *αἰτῶ σε* Bergkius | *προ. πίτνω* L *προπιτνῶ* L *προσπιτνῶ* l | 1383 *τῆσι* L *τῆσ* L | 1384 *ὅποι* Schneidewinus: *ὅπου* Lω *ὅπη* cod. parisinus 2820 | 1385 *δυσάρεστον αἷμ' ἀφύσσων* Schmidtius philol. XIII p. 469 | 1389 *ἀμμενεῖ* Wunderus: *ἀμμένει* Lω | 1390 *τοὐμῶν* cod. palatinus | *αἰωρουμένων* L *αἰωρούμενον* Lω

1378 *Λιπαρεῖ χερί*] *ἀντὶ τοῦ λιπαρῶς, συνεχῶς* ⟨*καὶ λιπαρεῖ· πλουσίᾳ, ἀφθόνῳ add. Suidas*⟩. | 1379 *Ἐξ οἵων ἔχω*] ⟨*ὡς ἔστι μοι δυνατόν· add. Suidas*⟩ *ὡς δυνάμεως ἔχω* ⟨*Suidas*⟩, *λόγους ἀξιοῦν, οὐ θύειν.* | 1382 *Τἀπιτίμια*] *τοὺς μισθούς* ⟨*Suidas*⟩. | 1384 *Ἴδεθ' ὅπου προνέμεται*] *εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. τοῦτο δὲ ἤτοι ὁ χορὸς φησὶν καὶ τῆς Ἠλέκτρας συνελθούσης αὐτοῖς, καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ ἀπὸ τοῦ χοροῦ· ἤτοι* ⟨*Wolffius de schol. Laur. p. 262 ἢ ὅτι L*⟩ *ἔξω οὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται· καὶ ἔστι διάλλειμα, ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ* ⟨*1397*⟩ *'ὦ φίλταται γυναῖκες'. παρατήρει δέ, ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμνήστραν, δι' ἃς προείπομεν αἰτίας· ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέστου, οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς οὐκ εἰσήγαγεν.* | *τοῦ Ὀρέστου εἰσελθόντος, ὁ χορὸς ταῦτα φησίν.* | ⟨*προνέμεται*] *ἀντὶ τοῦ προβιβάζει.* L⟩ | 1385 *Τὸ δυσέριστον αἷμα φυσῶν*] *οἷον, ὁ Ἄρης συναγελάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον.* | *δυσέριστον δὲ τὸ δι' ἔριν γινόμενον κακόν.* | 1307 *τὸ δὲ κακῶν* ⟨*κακὸν L*⟩, *οὐχ ὡς κατηγοροῦσα φησίν — ἐναντίον γὰρ τῷ ἤθει τοῦ χοροῦ —, ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις.* | 1388 *Ἄφυκτοι κύνες*] *ἤτοι εἰς τὸν Ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν Ἐρινύων. εἰσῆλθον εἰς τὸν οἶκον αἱ Ἐρινύες, ἃς οὐκ ἔστι φυγεῖν.* ⟨*Eustathius ad Hom. Il. I, 454 p. 763 αἱ Ἐριννῦς λέγονται — καὶ μετάδρομοι κακῶν ἔργων — καὶ ἄφυκτοι δὲ κύνες διὰ τὸ οἷον ἰχνηλατεῖν εἶτα καὶ δάκνειν τοὺς κακούργους.*⟩ | 1389 *Ὥστ' οὐ μακρὰν ἔτ' ἀμμένει*] *οὐ περὶ τοῦ ὀνείρου τῆς Κλυταιμνήστρας φησί, τοῦτο γὰρ βίαιον, ἀλλὰ τοῦτο φησίν· ἃ καὶ' ἐμαυτὴν ὠνειροπόλουν, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ' εὐθέως τελεσθήσεται.* | 1391 *Παράγεται γὰρ ἐνέρων δολιόπους*] *ἡ Ἐρι-*

δολιόπους ἀρωγὸς εἶσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
† νεακόνητον αἷμα χειροῖν ἔχων· ὁ Μαίας δὲ παῖς
ἐπί σφ' ἄγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα κοὐκέτ' ἀμμένει.
ΗΛ. ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ. πῶς δή; τί νῦν πράσσουσιν; ΗΛ. ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.
ΧΟ. σὺ δ' ἐκτὸς ἦξας πρὸς τί; ΗΛ. φρουρήσουσ' ὅπως
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛ. αἰαῖ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέᾳ.
ΗΛ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ', ὦ φίλαι;

1398—1421 = 1422—1441

1393 *εἰ* L *εἰς* Lω | *ἑδώλια* Lς *γρ. ἑδράσματα* Lρς | 1394 *νεοκόνητον* lemma schol. ed. Rom. | *ἄγμα χειροῖν* Kolsterus philol. V p. 633 *αἶχμα χειροῖν* vel *αἳ μάχαιραν* Nauckius | *νεακὲς αἱμάτωμα χειροῖν* Hartungus ⟨Hesychius *νεακές· νεωστὶ ἠκονημένον.*⟩ | *χειροῖν* L *χεροῖν* Lω | *χέων* Martinus progr. Posn. 1858 p. 28 | *παῖς Ἑρμῆς* Lω *Ἑρμῆς* del. Nevius | *ἐπί σφ' ἄγει* Nevius: *σφ' ἐξάγει* Lς *σφ' ἐσάγει* Lς *σφ' ἐπάγει* Lρς *ὁμοῦ σφ' ἄγει* Kolsterus philol. V p. 633 | 1398 *ἄνδρες* Brunckius: *ἄνδρες* Lω | 1399 *τελοῦσι* Lω *τελέσωσι* L | 1401 *τῶι* L | 1403 *ἡμᾶς* om. Lω add. codex ienensis Reiskius *αὐτός* Triclinius | 1404 *αἳ αἳ* del. Dindorfius | 1405 *πλέᾳ* Elmsleius ad Eurip. Med. 259: *πλέαι* Lω

νῦς ἀφόβως χωροῦσα, ἢ δαίμων τις ἁπλῶς βοηθὸς νεκρῶν, ἢ ἐπὶ τοῦ Ὀρέστου. παρέρχεται, φησίν, ἔσω στέγης ὁ Ὀρέστης. | *ἐνέρων δὲ ἀρωγὸς, ἤτοι τοῦ Ἀγαμέμνονος, ἢ τῶν χθονίων θεῶν βοηθός, ὅ ἐστιν ὑπηρέτις.* | 1393 *Ἑδώλια*] ⟨*καθέδραι ἢ ἑδάσματα add. Suidas*⟩ *ἀρχαῖα οἰκήματα* ⟨*Suidas*⟩. | 1394 *Νεακόνητον αἷμα*] *τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.* ⟨*Hesychius Suidas Bekkeri anecd. 1 p. 356 Σοφοκλῆς δὲ ἐν Ἠλέκτρᾳ τὴν μάχαιραν αἱμά φησιν. etymologicum magnum p. 35 αἷμα ἡ* ⟨*αἱμάτη codd.*⟩ *μάχαιρα παρὰ Σοφοκλεῖ.*⟩ | 1395 *Ὁ Μαίας δὲ παῖς*] *ὁ Ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα, κατακρύψας* ⟨*ed. Rom. κατακρύψαι LG*⟩ *σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον δόλον.* | 1398 *ἐξερχομένη ταῦτα φησίν.* | 1400 *Ἐς τάφον*] *εἰς τὸ περίδειπνον, τὸ ἐπὶ τῷ Ὀρέστῃ δοκοῦντι ἀπολωλέναι.* | 1402 *ἐν τούτοις δῆλον, ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.* | 1404 *Αἳ αἳ, ἰὼ στέγαι*] *ἔθος ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι, νῦν δὲ διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι οὐκ ἐποίησεν. τοῦτο γὰρ προκείμενον τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήστρας ἀκούει ὁ θεατής, καὶ ἐνεργέστερον τὸ πρᾶγμα γίνεται ἢ δι' ἀγγέλου σημαινόμενον· καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη, τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο.* | 1405 *Φίλων ἔρημοι*] *ὁ λόγος ἀποτείνεται πρὸς Αἴγισθον.* | 1406 *Βοᾷ τις ἔνδον*] *οἰκεῖον τὸ διανόημα γυναικῶν. τὸ δὲ ἀνήκουστα οὐχ ὡς καταγινώσκουσα τοῦ Ὀρέστου φασίν, ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι.*

ΧΟ. ἤκουσ' ἀνήκουστα δύστανος, ὥστε φρῖξαι.
ΚΛ. οἴμοι τάλαιν'. Αἴγισθε, ποῦ ποτ ὢν κυρεῖς;
ΗΛ. ἰδοὺ μάλ' αὖ θροεῖ τις. ΚΛ. ὦ τέκνον, τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν. ΗΛ. ἀλλ' οὐκ ἐκ σέθεν
ὠκτείρεθ' οὗτος οὐδ' ὁ γεννήσας πατήρ.
ΧΟ. ὦ πόλις, ὦ γενεὰ τάλαινα, νῦν σε
μοῖρα καθαμερία φθίνει φθίνει.
ΚΛ. ὤμοι πέπληγμαι. ΗΛ. παῖσον, εἰ σθένεις διπλῆν.
ΚΛ. ὤμοι μάλ' αὖθις. ΗΛ. εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.
ΧΟ. τελοῦσ' ἀραί· ζῶσιν οἱ γᾶς ὑπαὶ κείμενοι.
παλίρρυτον γὰρ αἷμ' ὑπέξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.
ΟΡ. καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος, οὐδ' ἔχω ψέγειν.
ΗΛ. Ὀρέστα, πῶς κυρεῖτε; ΟΡ. τἀν δόμοισι μὲν
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν.
ΗΛ. τέθνηκεν ἢ τάλαινα; ΟΡ. μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτέ.
ΗΛ. ⏑ – ⏑ – ⏑ –

1407 ἀνήκοστα L ἀνήκουστα Lz | φρίξαι L | 1409 ποῦ ς: ποῖ Lς | 1410 ὦ τέκνον, τέκνον Triclinius: ὢ τέκνον, ὢ τέκνον Lω | 1412 οὐδ' Dindorfius: οὔθ' Lω | 1414 καθαμερία Triclinius: καθημερία Lω | φθίνει φθίνει Llς φθίνει ρς φθίνειν φθίνειν Hermannus φθάνει φθάνει Bergkius φθίνειν ἔχει Dindorfius φθίνειν Hartungus | 1415 Crameri anecd. Oxon. I p. 268 καὶ τὸ παθητικὸν λέλημμαι. Σοφοκλῆς 'οἴμοι λέλημμαι'. | 1416 schol. RV Arist. pac. 936 τὸ ἡμιστίχιον ἐξ Ἠλέκτρας Σοφοκλέους τὸ 'οἴμοι μάλ' αὖθις', ὅτε τὴν Κλυταιμνήστραν οἱ περὶ Ὀρέστην φονεύουσιν. | γ' ὁμοῦ Hermannus | 1419 τελοῦσ' Triclinius: τελοῦσιν Lω | ὑπαὶ κείμενοι Brunckius: ὑποκείμενοι Lω | 1420 παλίρρυτον Bothius: πολύρυτον Ll πολύρρυτον ρς | ὑπὲξ αἱροῦσ' Bergkius | 1422 Ηλ. praef. Lω del. Hermannus | 1423 ΟΡ. Wilmsius metr. untersuch. II p. 22: Ηλ. Lω del. Hermannus | θυηλῆς L (υ in litura) θυηλαῖς Bergkius | θυηλῆς· ἆρα δέον ἔχω Kolsterus philol. V p. 635 | ψέγειν Erfurdtius: λέγειν Lω στέγειν Reisigius coniect. p. 15 βλέπειν Arndtius quaest. crit. p. 6 τί φῶ Bergkius | οὐδέ πὼν τέλει Martinus progr. Posn. 1858 p. 28 | 1424 κυρεῖτε Reisigius coni. p. 238 Elmsleius: κυρεῖ Lω κυρεῖ γε Triclinius κυρεῖ δέ Hermannus κυρεῖ τι Schneiderus κυροῦντα Erfurdtius ἔκυρε Nevius κυρεῖ τά γ' ἐν Brunckius κυρεῖ τάδ'; ἐν Kolsterus philol. V p. 636 | 1427 ἀτιμάσῃ ς | post 1427 tres versus excidisse monuit Erfurdtius

1413 *Ὦ πόλις, ὦ γενεά*] *ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ Μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν τοῦ γένους ἄγει.* | 1417 *Ζῶσιν*] *ἀντὶ τοῦ ἐπεξέρχονται αὐτούς.* | 1419 *Ὑπεξαιροῦσι*] *ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες* ⟨*οἱ πάλαι θανόντες G*⟩. | 1425 *Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν*] *οἷον, οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβαλλόμενος ἔπραξα, ἀλλὰ πειθόμενος θεῷ.*

⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –.
ΟΡ. ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –.
ΧΟ. παύσασθε. λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου.
ΟΡ. ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –.
ΗΛ. ὦ παῖδες, οὐκ ἄψορρον; ΟΡ. εἰσορᾶτέ που
τὸν ἄνδρ' ἐφ' ἡμῖν † οὗτος; ΗΛ. ἐκ προαστίου
χωρεῖ γεγηθὼς – ⏑ – ⏑ –.
ΧΟ. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα;
νῦν, τὰ πρὶν εὖ θέμενοι, τάδ' † ὡς πάλιν
ΟΡ. θάρσει· τελοῦμεν. ΗΛ. ἦ νοεῖς ἔπειγέ νιν.
ΟΡ. καὶ δὴ βέβηκα. ΗΛ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
ΧΟ. δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἠπίως ἐννέπειν
πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
ὀρούσῃ πρὸς δίκας ἀγῶνα.

ΑΙΓΙΣΘΟΣ.

τίς οἶδεν ὑμῶν, ποῦ ποθ' οἱ Φωκῆς ξένοι,
οὓς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναναγίοις;

1428 λεύσω L λεύσσω Lω | post 1429 versum excidisse vidit Seidlerus | 1430 εἰσορᾶτε ποῦ Hermannus | 1431 τοῦτον τὸν ἄνδρ' ἐφ' ἡμῖν; Kolsterus philol. V p. 638 τὸν ἄνδρ' ἰόντ' ἐφ' ἡμῖν; Martinus τὸν ἄνδρ' ἐφ' ἡμῖν τοῦτον; Nauckius | Ηλ. praef. ἐφ' ἡμῖν Lω | προαστείου ρς Suidas προάστειον· ὁ δὲ Σοφοκλῆς προάστιον διὰ τοῦ ι. 'εἰσορᾶτε — γεγηθώς'. | 1433 lacunam notavit Brunckius | γεγηθὼς οὗτος Martinus | 1434 τάδ', ὡς τὰ πρίν Musgravius τάδ' αὖ πάλιν Dindorfius | πάλιν Hartungus (del. τάδ' ὡς) | 1435 Ηλ. post ἦ νοεῖς Lω transposuit Erfurdtius | ἔπειγε νῦν L | 1438 γρ. νηπίοι Lz | 1440 λαθραῖον L (ν in litura duarum litterarum) | 1441 ὀρούσῃ L (post ι duae litterae erasae) | 1442 φωκεῖς Lς φωκῆς Lz | 1443 ἡμιν L Bergkius

1428 *Λεύσσω γὰρ Αἴγισθον*] *οἷον ὑποστρέψαντα· μετεκέκλητο γὰρ ἂν ἴσως ὑπὸ Κλυταιμνήστρας.* | 1434 *Νῦν τὰ πρὶν εὖ θέμενοι*] *τὰ μὲν πρὶν εὖ θέμενοι,* ⟨*τὰ — θέμενοι om. G*⟩ *τὰ κατὰ τὴν Κλυταιμνήστραν, ὡς καὶ ὕστερον* ⟨*G ὑμέτερον L*⟩ *εὖ εἴη τὰ κατὰ Αἴγισθον.* | 1437 *Αἰ ὠτὸς ἂν παῦρά γε*] *μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς· ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν τὸν λόγον.* ⟨*ἐν τῷ λαλεῖν δεῖ μήτι μηκύνειν λόγον Wolfius de schol. Laur. p. 24 trimetrum alicuius poetae putat.*⟩ | *Ὡς ἠπίως ἐννέπειν*] *ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι δεῖ, μὴ ἀνακαλύπτοντας* ⟨*ed. Rom. ἀνακαλύπτοντες L*⟩ *εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον.* | 1439 *Πρὸς ἄνδρα τόνδε συμφέροι*] *καθ' ὑπέρβατον· συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον· λείπει δὲ καὶ τῷ λόγῳ διαλεγόμενον τῷ νηπίῳ. ἢ πρὸς αἰτιατικὴν μετακτέον· πρὸς τὸν ἄνδρα συμφέροι τοῦτον ὡς πρὸς νήπιον ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτός, ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρᾳ κατ' αὐτοῦ γινόμενον.*

σέ τοι, σὲ κρίνω, ναὶ σέ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛ. ἔξοιδα, πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἶην τῶν ἐμῶν τῆς φιλτάτης.
ΑΙ. ποῦ δῆτ' ἂν εἶει οἱ ξένοι; δίδασκέ με.
ΗΛ. ἔνδον· φίλης γὰρ προξένου καθήνυσαν.
ΑΙ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ. οὔκ, ἀλλὰ καὶπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙ. πάρεστ' ἄρ' ἡμῖν ὥστε καὶμφανῆ μ' ἀθρεῖν.
ΗΛ. πάρεστι δῆτα καὶ μάλ' ἄζηλος θέα.
ΑΙ. ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.
ΗΛ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνοι τάδε.
ΑΙ. σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλαις
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν
στόμια δέχηται τἀμὰ μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν φύσῃ φρένας.
ΗΛ. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ· τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙ. ὦ Ζεῦ, δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὖ
πεπτωκός. εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω.

1445 *ναί* Reiskius: *καί* Lω | 1449 *τε φιλτάτων* Llp *τῆς φιλτάτης* Lς *τῶν φιλτάτων* ς *ἔμοιγε φιλτάτων* Nauckius *τῆς ἐμῶν τῶν φιλτάτων* Hartungus | 1450 *γράφεται μήνυέ μοι* L | 1451 *φίλης ἐς* Hartungus | *πρὸς ξένον* Wunderus miscell. Sophocl. p. 21 sqq. | *καθήνυσαν* Dobreus ad Aristoph. Plut. 607 ⟨Bekkeri anecd. p. 14 *ἀνύειν δασύνουσιν οἱ Ἀττικοί. καὶ δῆλον ἐκ τῆς συναλοιφῆς· καθήνυσαν γάρ*⟩: *κατήνυσαν* Lω | *μ' ἀθρεῖν* Kayserus n. iahrb. f. philol. LXVIII p. 509: *μαθεῖν* Lω | 1456 *μ'* om. ς | 1457 *χαρά* L *χαρτά* Lω | 1458 *κἀμπετεννύναι* Hartungus | *πύλαις* cod. monacensis Doederleinus spec. ed. Soph. p. 52 Dobreus adv. II p. 51: *πύλας* Lω *πέλας* Reiskius Erfurdtius Bergkius *δέμας* Froehlichius | 1460 *ἀστῶν* Benedictus | 1465 *κρείττοσιν* ω | 1466 *φόνου* L *φθόνου* Lω | *εὖ* Tyrwhittus apud Musgravium exerc. p. 145 ad Eurip. Rhes. 456 | 1467 *εἰ δ' ἐστι* L *εἰ δ' ἔπεστι* L (*ν* post *ι* eraso)

1451 *ἐπισαρκάζουσα τάδε φησίν.* | 1458 *κελεύει ὁ Αἴγισθος ἐμφανῶς δεικνυσθαι τὸ σῶμα τοῦ Ὀρέστου· οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς Κλυταιμνήστρας.* | 1462 *Μηδὲ πρὸς βίαν*] *ἐὰν μὴ πείθηται, πρὸς βίαν κολάσεως τυχών* ⟨*παρ' ἐμοῦ add. G*⟩, *τότε φύσει φρένας καὶ ἔσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι.* | 1466 *οἷον, ἐφθονήθη καὶ ἔπεσεν ὁ Ὀρέστης. εἰ δὲ μέμψις τις ἔπεστιν, οὐ λέγω.* | *εἰ δὲ μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν, οὐ λέγω.* | ⟨*δεῖ νοεῖν ὅτι κεκαλυμμένον εἶχον* ⟨*εἶχεν G*⟩ *τὸ σῶμα τῆς Κλυταιμνήστρας καὶ σὺν τῷ λόγῳ ἄραντες τὸ κάλυμμα ὑπέδειξαν* ⟨*ὑπέδειξεν G*⟩ *Αἰγίσθῳ add. G.*⟩

χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡ. αὐτὸς σὺ βάσταζ'. οὐκ ἐμὸν τόδ', ἀλλὰ σόν,
τὸ ταῦθ' ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
ΑΙ. ἀλλ' εὖ παραινεῖς κἀπιπείσομαι· σὺ δέ,
εἴ που κατ' οἰκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡ. αἵτη πέλας σοῦ· μηκέτ' ἄλλοσε σκόπει.
ΑΙ. οἴμοι, τί λεύσσω; ΟΡ. τίνα φοβεῖ; τίν' ἀγνοεῖς;
ΑΙ. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων; ΟΡ. οὐ γὰρ αἰσθάνει πάλαι
ζῶντας θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
ΑΙ. οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐχ Ὀρέστης ἔσθ' ὁ προσφωνῶν ἐμέ.
ΟΡ. καὶ μάντις ὢν ἄριστος ἐσφάλλου πάλαι.
ΑΙ. ὅλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν. ΗΛ. μὴ πέρα λέγειν ἔα
πρὸς θεῶν, ἀδελφέ, μηδὲ μηκύνειν λόγους.
[τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;]
ἀλλ' ὡς τάχιστα κτεῖνε καὶ κτανὼν πρόθες
ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡ. χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ οὐ
νῦν ἐστιν ἀγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙ. τί δ' ἐς δόμους ἄγεις με; πῶς, τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἰ κτανεῖν;
ΟΡ. μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἀμόν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.

1469 *τοι* ς: *τε* Lς *γε* Triclinius | *τύχοι* g | 1471 *φίλωσ* L *φίλος* Lς | 1475 *φοβῇ* L | 1477 *αἰσθάνῃ* L | 1478 *ζῶντας* Tyrwhittus: *ζῶν τοῖς* Lω | 1481 *ἐσφάλου* Ll *ἐσφάλλου* Lω | 1483 *κἂν ἐπὶ μικρὸν* Llg *κἂν σμικρόν* Lρω | 1485 et 1486 in margine L in litura duorum versuum quos L adscripsit del. Dindorfius | *πρὸ τῶν* Hamacherus | *λαλῶν — μεμιγμένον* Hartungus *θροῶν — μεμιγμένον* Ahrensius progr. Coburg. 1859 p. 14 | 1487 *πρόσθες* eraso *σ* L | 1488 *ὦ* L *ὧν* L | 1492 *ἀγών* Brunckius: *ἀγών* Lω | 1496 *ἄν* ς om. Lς *νύν* Hermannus

1478 *Ζῶν τοῖς θανοῦσιν*] *τῷ Ὀρέστῃ.* | 1483 *περισσὴ γὰρ καὶ ἀπίθανος διατριβὴ πρὸς τῷ τέλει ἐκτείνειν λόγους* ⟨*ἀντὶ τοῦ ἀνελῶν* ⟨*ἀνελεῖν?*⟩ *add. G*⟩. | 1488 *οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.* | 1489 *Τόδε*] *τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.* | 1495 *Μὴ τάσσε*] *μὴ ἐπίτασσε.* | *πρόφασιν ἱκανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.*

AI. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;
OP. τὰ γοῦν σ'. ἐγὼ σοι μάντις εἰμὶ τῶνδ' ἀκρός.
AI. ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
OP. πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'. *AI.* ὕφηγοῦ. *OP.* σοὶ βαδιστέον πάρος.
AI. ἦ μὴ φύγω σε; *OP.* μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
[χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.]
XO. ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες
τῇ νῦν ὁρμῇ τελεωθέν.

1498 et 1499 in textu L erasis isdem versibus ab L scriptis | 1499 *τά γ' οὖν* L | *σ'* in litura duarum litterarum L | 1502 *ἕρπε* L *ἕρφ'* L | 1503 *ἦ* Hermannus | 1505—1507 del. Dindorfius adfert Nicephorus prog. 6 I p. 461 W. | 1005 *τήνδε* add. L | 1506 *πέραι* L *πέρα τι τῶν νόμων πράσσειν* Nicephorus *πέρα πράσσειν τι τῶν νόμων* Dindorfius Cobetus mnemos. V p. 259 | *θέλοι* L *θέλει* Lω | 1508—1510 del. Ritterus philol. XVII p. 430

1499 * *Thomas Magister p. 77 R. τὸ γοῦν· — καὶ ἀργὸν δὲ χάριν κόσμου τοῦτο τιθέασιν οἱ ποιηταί. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ 'τὰ γοῦν σά'.* * | 1508 *ἀντὶ τοῦ, μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.*



INDEX IMAGINVM.

In fronte libri caput marmoreum, paene intactum Ostiae ut dicunt repertum, nunc in Britannia delitescens, tragicam spirans gravitatem:
εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
εἴτε καὶ Ἠλέκτραν.

In fronte vitae caput Sophoclis, e statua marmorea lateranensi prope Tarracinam inventa desumptum.

Sub inscriptione fabulae Orestes et Electra e marmore, egregium artis antiquae pulchritudinem gravitate temperantis opus, quod in museo neapolitano conspicitur.

In fronte fabulae Mycenarum porta maior, secundum Gellium. (Pausanias II, 16, 5 *λείπεται δὲ ὅμως ἔτι καὶ ἄλλα τοῦ περιβόλου καὶ ἡ πύλη· λέοντες δὲ ἐφεστήκασιν αὐτῇ· Κυκλώπων δὲ καὶ ταῦτα ἔργα εἶναι λέγουσιν.*)

In fine fabulae caedes Aegisthi e pictura amphorae volcentanae in museo berolinensi adservatae (n. 1007).

BONNAE FORMIS CAROLI GEORGI

This book is due two weeks from the last date stamped below, and if not returned at or before that time a fine of five cents a day will be incurred.

9 Dec '44		

88SX IE61
Sophocles
Sophoclis Electra
88SX IE61



MAR 12 1936